GREEK SERIES · VOLUME 110

On Fractures and Joints

Hippocrates

ΠΕΡΙ ΑΓΜΩΝ · ΠΕΡΙ ΑΡΘΡΩΝ

On Fractures and Joints

With Instruments of Reduction,
On Wounds in the Head, and Three More

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 110 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Littré's Hippocrates

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed; words
he supplies are printed without their brackets.

CONTENTS

ON FRACTURES

I · The Natural Posture of the Arm 11
II · Bandaging the Forearm 18
III · Regimen, the Upper Arm, and the Foot 25
IV · The Heel, the Leg, and the Ankle 34
V · Reducing the Ankle and Setting the Leg 41
VI · One Leg Bone, and the Thigh 50
VII · Fractures with Wounds 58
VIII · Splints, Rods, and Balls 65
IX · Projecting Bones and the Lever 74
X · The Thigh, the Upper Arm, and the Knee 82
XI · Dislocations at the Elbow 90

ON JOINTS

I · The Shoulder and Its Reductions 101
II · The Ambe, and Why Natures Differ 108

ON JOINTS

(continued)

III · After the Shoulder Is Reduced; Cautery 116
IV · Unreduced Shoulders, the Acromion, and the Collarbone 125
V · The Collarbone, the Elbow, the Wrist, and the Fingers 136
VI · The Jaw 144
VII · The Chin and the Nose 153
VIII · The Ear and the Spine 162
IX · Shaking on a Ladder; the Spine's Nature 171
X · Straightening the Hump on the Board 181
XI · Contusions of the Ribs; the Hip 191
XII · The Unreduced Inward Dislocation 198
XIII · The Outward and the Backward Dislocations 207
XIV · Unreduced Backward and Forward Dislocations 215
XV · Clubfoot and Compound Dislocations 225
XVI · Compound Dislocations, Amputations, and Gangrene 233
XVII · Reducing the Thigh by Suspension and on the Bench 243
XVIII · The Other Hip Dislocations; the Wineskin 252
XIX · Summary of the Joints 260

INSTRUMENTS OF REDUCTION

I · The Bones, the Nose, the Ear, the Jaw, and the Shoulder 271
II · The Acromion, the Elbow, the Wrist, and the Hip 280
III · The Hip's Other Dislocations, the Knee, and the Ankle 288

INSTRUMENTS OF REDUCTION

(continued)

IV · Clubfoot, Compound Dislocations, and Gangrene 296
V · Signs, Errors, and Rules 305

ON WOUNDS IN THE HEAD

I · The Sutures and the Bone of the Skull 313
II · The Kinds of Injury, and Examining the Wound 320
III · Sutures, Incision, and Scraping 330
IV · The Course of a Head Wound 339
V · How to Trephine 347

IN THE SURGERY

I · The Surgery and the Bandage 353
II · Splints, Water, Posture, and Pressure 362

ON ULCERS

I · Ulcers in General 373
II · Drugs for Ulcers 383
III · Ointments, Burns, and Blood-Letting 392

ON FISTULAS

I · Fistulas and Their Treatment 403
II · Inflammation and Prolapse of the Anus 409

HIPPOCRATES

ΠΕΡΙ ΑΓΜΩΝ

On Fractures

Extensions for fractures and dislocations should be as straight as possible, in the natural line, erring if at all toward prone, not supine; a patient left alone holds it out rightly. One physician bandaged the forearm prone like an archer's, another supine, mistaking the upper arm's head for the wrist's bone; both mistook the natural posture, which differs for each art, and each brings pain or displaces bone and sinew. Extended as the author directs, bone and sinews lie straight and the arm is painless walking or lying; the patient sits with the bone toward the brightest light.

Ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ κατηγμάτων 1
It-was-needful the physician of-the dislocations both and fractures
ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι· αὕτη γὰρ ἡ
as straightest the extensions to-make this for the
δικαιοτάτη φύσις. Ἢν δέ τι ἐγκλίνῃ ἢ τῇ ἢ
most-just nature If but somewhat it-should-incline or this-way or
τῇ, ἐπὶ τὸ πρηνὲς ῥέπειν· ἐλάσσων γὰρ ἡ ἁμαρτὰς
that-way toward the prone to-lean less for the error
ἢ ἐπὶ τὸ ὕπτιον. Οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες
than toward the supine Those indeed then nothing having-planned-beforehand
οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πουλύ· αὐτὸς γὰρ ὁ
nothing go-wrong as for the most-part himself for the
ἐπιδεόμενος τὴν χεῖρα ἀπορέγει, οὕτως ὑπὸ τῆς δικαίης
being-bandaged the arm holds-out so by the just
φύσιος ἀναγκαζόμενος· οἱ δὲ ἰητροὶ σοφιζόμενοι δῆθεν ἐστὶν
nature being-compelled the but physicians being-clever forsooth there-are
οἳ ἁμαρτάνουσιν. Σπουδὴ μὲν οὐ πολλὴ χεῖρα κατεαγυῖαν
who err Effort indeed not much an-arm broken
χειρίσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν· ἀναγκάζομαι
to-handle also of-every and physician as word to-say am-compelled
δ' ἐγὼ πλείω γράφειν περὶ αὐτέου, ὅτι οἶδα ἰητροὺς
but I more to-write about it because I-know physicians

σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει,
wise having-seemed to-be from postures of-the-arm in bandaging
ἀφ᾽ ὧν ἀμαθέας αὐτέους ἐχρῆν δοκέειν εἶναι. Ἄλλα
from which ignorant them it-was-needful to-seem to-be Other
γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται· τὸ γὰρ
for many-things so of-this the art are-judged the for
ξενοπρεπὲς οὔπω ξυνιέντες εἰ χρηστὸν, μᾶλλον ἐπαινέουσιν,
outlandish not-yet understanding if useful rather they-praise
ἢ τὸ ξύνηθες, ὃ ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ
than the customary which already they-know that useful and the
ἀλλόκοτον, ἢ τὸ εὔδηλον. Ῥητέον οὖν ὁκόσας ἐθέλω
strange than the obvious Must-be-told then as-many-as I-wish
τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν ἀποδιδάξαι, τὰς
of-the errors of-the physicians the-ones indeed to-unteach the-others
δὲ διδάξαι περὶ τῆς φύσιος τῆς χειρός· καὶ γὰρ ἄλλων
and to-teach about the nature of-the arm and for of-other
ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστίν.
bones of-those in the body teaching this the account is

2 Τὴν μὲν οὖν χεῖρα, περὶ οὗ ὁ λόγος, ἔδωκέ τις ἐπιδῆσαι,
The indeed then arm about which the account gave someone to-bandage
πρηνέα ποιήσας· ὁ δ᾽ ἠνάγκαζεν οὕτως ἔχειν, ὥς περ οἱ
prone having-made he but compelled so to-be as indeed the
τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσι, καὶ οὕτως ἔχουσαν
archers whenever the shoulder they-thrust-forward and so being
ἐπέδει, νομίζων ἑωυτῷ εἶναι τοῦτο αὐτέῃ τὸ κατὰ
he-bandaged thinking to-himself to-be this for-it the according-to
φύσιν· καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα ἅπαντα τὰ ἐν
nature and as-evidence he-adduced the both bones all the in
τῷ πήχει, ὅτι ἰθυωρίην κατάλληλα εἶχε, τήν τε ὁμοχροίην,
the forearm that straight-line in-line it-had the and uniform-surface
ὅτι αὐτὴ καθ᾽ ἑωυτὴν τὴν ἰθυωρίην ἔχει οὕτω καὶ ἐκ τοῦ
that itself by itself the straight-line has so both from the

ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν· οὕτω δὲ ἔφη καὶ τὰς
outer part and from the inner so and he-said both the
σάρκας καὶ τὰ νεῦρα πεφυκέναι, καὶ τὴν τοξικὴν ἐπήγετο
flesh and the sinews to-be-disposed and the archery he-adduced
μαρτύριον. Ταῦτα λέγων καὶ ταῦτα ποιέων, σοφὸς
as-evidence These-things saying and these-things doing wise
ἐδόκεεν εἶναι· τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθει, καὶ ὁκόσα
he-seemed to-be of-the but other arts he-had-forgotten and as-many-as
ἰσχύϊ ἐργάζονται, καὶ ὁκόσα τεχνήμασιν, οὐκ εἰδὼς ὅτι
by-strength they-work and as-many-as by-devices not knowing that
ἄλλο ἐν ἄλλῳ τὸ κατὰ φύσιν σχῆμά ἐστιν, καὶ ἐν τῷ
other in other the according-to nature posture is and in the
αὐτέῳ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ
same work other of-the right arm postures according-to
φύσιν ἐστὶ, καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ.
nature are and other of-the left if so it-happen
Ἄλλο μὲν γὰρ σχῆμα ἐν ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο
Other indeed for posture in javelin-throwing according-to nature other
δὲ ἐν σφενδονήσει, ἄλλο δὲ ἐν λιθοβολίῃσιν, ἄλλο ἐν πυγμῇ,
and in slinging other and in stone-throwing other in boxing
ἄλλο ἐν τῷ ἐλινύειν. Ὁκόσας δ' ἄν τις τέχνας εὕροι,
other in the resting As-many-as and — anyone arts should-find
ἐννοέοι οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρέων κατὰ φύσιν
he-would-consider not the same posture of-the hands according-to nature
εἶναι ἐν ἑκάστῃ τῶν τεχνέων· ἀλλὰ πρὸς τὸ ἄρμενον ὃ
to-be in each of-the arts but toward the implement which
ἂν ἔχῃ ἕκαστος, καὶ πρὸς τὸ ἔργον ὃ ἂν ἐπιτελέσασθαι
— has each and toward the work which — to-accomplish
θέλῃ, σχηματίζονται αἱ χεῖρες. Τοξικὴν δὲ ἀσκέοντι εἰκὸς
he-wishes are-postured the hands Archery and for-one-practicing likely
τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης χειρός· τοῦ γὰρ
this the posture strongest to-be of-the other arm of-the for

βραχίονος τὸ γιγγλυμοειδὲς, ἐν τῇ τοῦ πήχεος βαθμίδι ἐν
upper-arm the hinge-shaped-part in the of-the forearm socket in
τουτέῳ τῷ σχήματι ἐρεῖδον, ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισι
this the posture pressing straight-line makes for-the bones
τοῦ πήχεος καὶ τοῦ βραχίονος, ὡς εἰ ἓν εἴη τὸ πᾶν· καὶ ἡ
of-the forearm and of-the upper-arm as if one were the whole and the
ἀνάκλασις τοῦ ἄρθρου κέκλασται ἐν τουτέῳ τῷ σχήματι.
bending of-the joint is-bent-back in this the posture
Εἰκὸς μὲν οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον
Likely indeed then so most-unbending both and most-tense
εἶναι τὸ χωρίον, καὶ μὴ ἡσσᾶσθαι, μηδὲ ξυνδιδόναι, ἑλκομένης
to-be the region and not to-be-overcome nor to-give-way being-drawn
τῆς νευρῆς ὑπὸ τῆς δεξιῆς χειρός· καὶ οὕτως ἐπὶ πλεῖστον
the string by the right arm and so to most
μὲν τὴν νευρὴν ἑλκύσει, ἀφήσει δὲ ἀπὸ στερεωτάτου
indeed the string he-will-draw will-release and from most-solid
καὶ ἀθροωτάτου· ἀπὸ τῶν τοιουτέων γὰρ ἀφεσίων τῶν
and most-compact from the such for releasings of-the
τοξευμάτων, ταχεῖαι καὶ αἱ ἰσχύες καὶ τὰ μήκεα γίνονται.
arrows swift both the strengths and the ranges become
Ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν. Τοῦτο μὲν γὰρ, εἰ
To-bandaging but and archery nothing in-common This indeed for if
ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτως ἐκέλευε, πόνους ἂν ἄλλους
having-bandaged to-hold the arm so he-ordered pains — other
πολλοὺς προσετίθει μείζονας τοῦ τρώματος· τοῦτο δ', εἰ
many he-would-add greater than-the wound this but if
ξυγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα, οὔτε τὰ νεῦρα, οὔτε αἱ
to-bend he-ordered neither the bones nor the sinews nor the
σάρκες ἔτι ἐν τῷ αὐτέῳ ἐγίνοντο, ἀλλὰ ἄλλῃ μετεκοσμεῖτο,
flesh still in the same were but elsewhere were-rearranged
κρατέοντα τὴν ἐπίδεσιν· καὶ τί ὄφελός ἐστι τοξικοῦ
overpowering the bandaging and what use is of-archery

σχήματος; καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος,
posture and these-things perhaps not — he-would-have-erred being-clever
εἰ εἴα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρασχέσθαι.
if he-let the wounded-man himself the arm to-present
Ἄλλος δ' αὖ τις τῶν ἰητρῶν ὑπτίην τὴν χεῖρα δοὺς, 3
Another but again some of-the physicians supine the arm having-given
οὕτω κατατείνειν ἐκέλευε, καὶ οὕτως ἔχουσαν ἐπέδει, τοῦτο
so to-extend ordered and so being he-bandaged this
νομίζων τὸ κατὰ φύσιν εἶναι, τῷ τε χροΐ σημαινόμενος,
thinking the according-to nature to-be by-the both skin judging
καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, ὅτι
and the bones thinking according-to nature to-be so because
φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπὸν, ᾗ
appears the projecting bone the beside the wrist where
ὁ σμικρὸς δάκτυλος, κατ' ἰθυωρίην εἶναι τοῦ ὀστέου
the small finger in straight-line to-be with-the bone
ἀφ' ὀτέου τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν. Ταῦτα τὰ
from which the forearm the men measure These the
μαρτύρια ἐπήγετο, ὅτι κατὰ φύσιν οὕτως ἔχει, καὶ ἐδόκεεν
evidences he-adduced that according-to nature so it-is and he-seemed
εὖ λέγειν. Ἀλλὰ τοῦτο μὲν, εἰ ὑπτίη ἡ χεὶρ κατατείνοιτο,
well to-speak But this indeed if supine the arm should-be-extended
ἰσχυρῶς πονοίη ἄν· γνοίη δ' ἄν τις τὴν ἑωυτοῦ
strongly it-would-suffer — would-know and — anyone the his-own
χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. Ἐπεὶ καὶ ἀνὴρ
arm having-extended how painful the posture Since even a-man
ἥσσων κρέσσονα διαλαβὼν οὕτως εὖ τῇσιν ἑωυτοῦ χερσὶν,
weaker a-stronger having-gripped so well with-the his-own hands
ὡς κλᾶται ὁ ἄγκων ὕπτιος, ἄγοι ἂν ὅπῃ ἐθέλοι· οὔτε
as is-bent the elbow supine would-lead — wherever he-wished neither

γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅ
for if a-sword in this the hand he-should-hold he-would-have — what
τι χρήσαιτο τῷ ξίφει, οὕτω βίαιον τοῦτο τὸ σχῆμά ἐστιν.
— he-could-use the sword so forced this the posture is
Τοῦτο δὲ, εἰ ἐπιδήσας τις ἐν τουτέῳ τῷ σχήματι
This and if having-bandaged someone in this the posture
ἐῴη, μέζων μὲν πόνος, εἰ περιίοι, μέγας δὲ καὶ εἰ
should-leave greater indeed pain if he-walked-about great and also if
κατακέοιτο. Τοῦτο δὲ, εἰ ξυγκάμψει τὴν χεῖρα, ἀνάγκη πᾶσα
he-lay This but if he-will-bend the arm necessity all
τούς τε μύας καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. Ἠγνόει
the both muscles and the bones other posture to-have He-was-ignorant
δὲ καὶ τάδε τὰ ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης·
and also these-things the in the posture apart-from the other harm
τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν
the for bone the beside the wrist projecting the by the
σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστιν· τὸ δ' ἐν τῇ
small finger this indeed of-the forearm is the but in the
ξυγκάμψει ἐὸν, ἀπ' ὅτευ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσι,
bend being from which the forearm the men measure
τοῦτο δὴ τοῦ βραχίονος ἡ κεφαλή ἐστιν. Ὁ δὲ ᾤετο
this indeed of-the upper-arm the head is He but thought
τωὐτὸ ὀστέον εἶναι τοῦτό τε κακεῖνο, πολλοὶ δὲ καὶ ἄλλοι·
the-same bone to-be this both and-that many and also others
ἔστι δ' ἐκείνῳ τῷ ὀστέῳ τωὐτὸ ὁ ἄγκων καλεόμενος,
is and to-that the bone the-same the elbow so-called
ᾧ ποτὶ στηριζόμεθα. Οὕτως οὖν ὑπτίην ἔχοντι τὴν
on-which against we-lean So then supine holding the
χεῖρα, τοῦτο μὲν, τὸ ὀστέον διεστραμμένον φαίνεται· τοῦτο
arm this indeed the bone twisted appears this
δὲ, τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ εἴσω
and the sinews the from the wrist stretching from the inner

μέρεος καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν
part and from the fingers these supine holding the
χεῖρα διεστραμμένα γίνεται· τείνει τε γὰρ ταῦτα τὰ νεῦρα
arm twisted become stretch both for these the sinews
πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρεῖται.
toward the of-the upper-arm bone whence the forearm is-measured
Αὗται τοσαῦται καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι
These so-many and such the errors and ignorances
τῆς φύσιος τῆς χειρός. Εἰ δ', ὡς ἐγὼ κελεύω, χεῖρα
of-the nature of-the arm If but as I order an-arm
κατεαγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς
broken should-extend someone he-will-turn indeed the bone into
ἰθὺ, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τὸ ἐς τὸν ἀγκῶνα
straight the by the small finger the to the elbow
τεῖνον, ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ
stretching straight-line and will-have the sinews the from the wrist
πρὸς τοῦ βραχίονος τὰ ἄκρα τείνοντα· ἀναλαμβανομένη
toward the upper-arm's the ends stretching being-taken-up
δὲ ἡ χεὶρ ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ᾧ
and the arm in nearly-the-same posture will-be in which
περ καὶ ἐπιδεομένη, ἄπονος μὲν ὁδοιπορέοντι, ἄπονος
indeed also being-bandaged painless indeed to-one-walking painless
δὲ κατακειμένῳ καὶ ἀκάματος. Καθίννυσθαι δὲ χρὴ
and to-one-lying and untiring To-be-seated and one-must
τὸν ἄνθρωπον οὕτως, ὅκως ᾖ τὸ ἐξέχον τοῦ ὀστέου
the man so that be the projecting-part of-the bone
πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς
toward the brightest of-the present lights so-that
μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει, εἰ ἱκανῶς
not escape the operator in the extension whether sufficiently
ἐξίθυνται. Τοῦ γε μὴν ἐμπείρου οὐδ' ἂν τὴν
it-has-been-straightened Of-the at-least however experienced not-even — the

χεῖρα λάθοι ἐπαγομένην τὸ ἐξέχον· ἀτὰρ καὶ ἀλγέει
hand would-escape being-brought-to the projecting-part but also it-pains
μάλιστα κατὰ τὸ ἐξέχον ψαυόμενον.
most at the projecting-part being-touched

II · BANDAGING THE FOREARM

When one forearm bone breaks the cure is easier, most if the upper, though thicker; both broken need the strongest extension. The physician extends, sets with the palms, and bandages over cerate with the hand a little above the elbow, the first rollers from the break upward to check the blood. Rightly bound, the patient feels most pressure at the break and a soft swelling in the hand next day. Every third day it is redone a little tighter; on the seventh splints go on, thickest at the break, clear of the wrist's bones, firmed gently every third day.

4 Τῶν δὲ ὀστέων τοῦ πήχεος, ὧν μὴ ἀμφότερα κατέηγε,
Of-the and bones of-the forearm of-which not both are-broken
ῥᾴων ἡ ἴησις, ἢν τὸ ἄνω ὀστέον τετρωμένον ἔῃ, καί περ
easier the cure if the upper bone wounded be even though
παχύτερον ἐόν· ἅμα μὲν ὅτι τὸ ὑγιὲς ὑποτεταμένον
thicker being at-once indeed because the sound-one stretched-under
γίνεται ἀντὶ θεμελίου, ἅμα δ' ὅτι εὐκρυπτότερον γίνεται,
becomes instead-of a-foundation at-once and because more-easily-concealed it-becomes
πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ· παχείη γὰρ ἡ τῆς σαρκὸς
except if the near the wrist thick for the of-the flesh
ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. Τὸ δὲ κάτω ὀστέον ἄσαρκον, καὶ
growth the toward the upper-part The but lower bone fleshless and
οὐκ εὐξύγκρυπτον, καὶ κατατάσιος ἰσχυροτέρης δέεται. Ἢν δὲ
not easily-concealed and of-extension stronger needs If but
μὴ τοῦτο ξυντριβῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις
not this be-crushed but the other weaker the extension

ἀρκέει· ἢν δὲ ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος
suffices if but both be-broken strongest extension
δεῖται· παιδίου μὲν γὰρ ἤδη εἶδον καταταθέντα μᾶλλον
it-needs of-a-child indeed for already I-saw extended more
ἢ ὡς ἔδει, οἱ δὲ πλεῖστοι ἧσσον τείνονται ἢ ὡς δεῖ.
than as was-needed the but most less are-stretched than as is-needed
Χρὴ δ', ἐπὴν τείνωσι, τὰ θέναρα προσβάλλοντα διορθοῦν·
One-must and whenever they-stretch the palms applying to-set-straight
ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πουλλῇ, ὡς μὴ περιπλέῃ
then having-anointed with-cerate not very much so-that not run-off
τὰ ἐπιδέσματα, οὕτως ἐπιδεῖν, ὅκως μὴ κατωτέρω ἄκρην τὴν
the bandages so to-bandage that not lower the-end the
χεῖρα ἕξει τοῦ ἀγκῶνος, ἀλλὰ σμικρῷ τινι ἀνωτέρω,
hand it-will-hold than-the elbow but by-a-little some higher
ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλὰ ἀπολαμβάνηται·
so-that not the blood into the-end flow-in but be-intercepted
ἔπειτα ἐπιδεῖν τῷ ὀθονίῳ, τὴν ἀρχὴν βαλλόμενος κατὰ
then to-bandage with-the linen-strip the beginning placing at
τὸ κάτηγμα· ἐρείδων μὲν οὖν, μὴ πιέζων δὲ κάρτα.
the fracture pressing indeed then not squeezing but very
Ἐπὴν δὲ περιβάλλῃ κατὰ τωὐτὸ δὶς ἢ τρὶς, ἐπὶ τὸ
Whenever and he-goes-round at the-same twice or thrice toward the
ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιῤῥοαὶ τοῦ αἵματος
upper-part let-him-proceed bandaging so-that the influxes of-the blood
ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι· χρὴ δὲ μὴ
be-intercepted and let-him-end there one-must and not
μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια. Τῶν δὲ δευτέρων ὀθονίων,
long be the first linen-strips Of-the and second linen-strips
τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάτηγμα· περιβαλὼν
the indeed beginning to-be-placed upon the fracture having-gone-round
δὲ ἅπαξ ἐς τωὐτὸ, ἔπειτα νεμέσθω ἐς τὸ κάτω,
and once at the-same then let-him-proceed toward the lower-part

καὶ ἐπὶ ἧσσον πιέζων, καὶ ἐπὶ μέζον διαβιβάσκων, ὡς
and with less pressing and at greater spacing so-that
ἂν αὐτὸ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀναπαλινδρομῆσαι
— itself enough become the linen-strip to-run-back
κεῖθι, ἵνα περ τὸ ἕτερον ἐτελεύτησεν. Ἐνταῦθα μὲν οὖν
there where indeed the other ended Here indeed then
τὰ ὀθόνια ἐπ᾽ ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεδέσθω ἢ ἐπὶ
the linen-strips to left or to right let-be-bandaged or to
ὁκότερα ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατεηγότος,
whichever — is-of-advantage toward the posture of-the broken-part
καὶ ἐφ᾽ ὁκότερα ἂν περιῤῥέπειν ξυμφέρῃ. Μετὰ δὲ ταῦτα,
and to whichever — to-incline is-of-advantage After and these
σπλῆνας κατατείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ· καὶ
compresses to-lay-on one-must anointed with-cerate a-little and
γὰρ προσηνέστερον καὶ εὐθετώτερον· ἔπειτα οὕτως ἐπιδεῖν
for more-gentle and better-placed then so to-bandage
τοῖσιν ὀθονίοισιν ὡς ἐναλλὰξ, ὁτὲ μὲν ἐπὶ δεξιὰ, ὁτὲ
with-the linen-strips as alternately at-times indeed to right at-times
δὲ ἐπ᾽ ἀριστερά· καὶ τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος, ἐς
and to left and the indeed more from-below beginning to
τὸ ἄνω ἄγειν, ἔστι δ᾽ ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω. Τὰ
the upper-part to-lead it-is and when also from-above to the lower-part The
δὲ ὑπόξηρα ἀκέεσθαι τοῖσι σπλήνεσι κυκλεῦντα· τῷ
and somewhat-dry-parts to-remedy with-the compresses going-round with-the
δὲ πλήθει τῶν περιβολέων μὴ πᾶν ἀθρόον ξυνδιορθοῦντα,
but number of-the turns not all at-once setting-straight
ἀλλὰ κατὰ μέρος· περιβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ
but by part to-go-round and one-must loosely and about
τὸν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε. Πλῆθος δὲ
the wrist of-the hand now and again Number and
τῶν ὀθονίων ἱκανὸν τὸ πρῶτον, αἱ δύο μοῖραι.
of-the linen-strips enough the first-time the two parts

Σημεῖα δὲ τοῦ καλῶς ἰητρευμένου ταῦτα, καὶ ὀρθῶς 5
Signs and of-the well treated these and correctly
ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεκται, καὶ
bandaged if you-should-ask him whether he-has-been-pressed and
εἰ φαίη μὲν πεπιέχθαι, ἡσύχως δὲ, καὶ μάλιστα
whether he-should-say indeed to-have-been-pressed gently but and most
εἰ κατὰ τὸ κάτηγμα φαίη· τοιαῦτα τοίνυν φάναι χρὴ
if at the fracture he-should-say such-things then to-say one-must
πεπρηγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον. Σημεῖα δὲ
having-been-done through the-end the correctly bandaged-man Signs and
ταῦτα τῆς μετριότητος, τὴν μὲν ἡμέρην ἣν ἂν ἐπιδεθῇ, καὶ
these of-the moderation the indeed day which — he-is-bandaged and
τὴν νύκτα δοκείτω αὐτὸς ἑωυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι,
the night let-him-seem he to-himself not to less to-have-been-pressed
ἀλλ' ἐπὶ μᾶλλον· τῇ δ' ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν
but to more on-the and next-day a-little-swelling to-come
ἐς χεῖρα ἄκρην μαλθακόν· μετριότητος γὰρ σημεῖον τῆς
into hand end soft of-moderation for a-sign of-the
πιέξιός σου. Τελευτώσης δὲ τῆς ἡμέρης, ἐπὶ ἧσσον δοκείτω
pressure your At-the-end and of-the day to less let-him-seem
πεπιέχθαι· τῇ δὲ τρίτῃ, χαλαρά σοι δοκείτω εἶναι τὰ
to-have-been-pressed on-the and third loose to-you let-them-seem to-be the
ἐπιδέσματα. Κἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλείπῃ,
bandages And-if indeed any of-these of-the things-said fall-short
γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἡ ἐπίδεσις τοῦ μετρίου·
to-know one-must that looser the bandaging than-the moderate
ἢν δέ τι τῶν εἰρημένων πλεονάζῃ, χρὴ γινώσκειν ὅτι
if but any of-the things-said exceed one-must to-know that
μᾶλλον ἐπιέχθη τοῦ μετρίου· καὶ τουτέοισι σημαινόμενος,
more it-was-pressed than-the moderate and by-these judging
τὸ ὕστερον ἐπιδέων, ἢ χαλᾷν μᾶλλον, ἢ πιέζειν.
the later bandaging either to-loosen more or to-press

Ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον
Having-undone and one-must on-the-third-day being having-extended
καὶ διορθωσάμενον, αὖθις ἐπιδῆσαι· κἢν μετρίως τὸ πρῶτον
and having-set-straight again to-bandage and-if moderately the first-time
τετυχήκῃς ἐπιδήσας, ταύτην τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ
you-have-succeeded having-bandaged this the bandaging one-must a-little
μᾶλλον ἢ ἐκείνην πιέσαι. Βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς
more than that to-press To-be-placed and one-must the beginnings
κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον· ἢν μὲν γὰρ
at the fracture just-as also the before if indeed for
τοῦτο πρότερον ἐπιδέῃς, ἐξειρύαται ἐκ τούτου οἱ ἰχῶρες
this first you-bandage are-drawn-off from this the serous-fluids
ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα· ἢν δέ τι ἄλλο πρότερον
to the extremities this-way and that if but some other first
πιέζῃς, ἐς τοῦτο ἐξειρύαται ἐκ τοῦ πιεχθέντος· ἐς πολλὰ
you-press to this they-are-drawn-off from the pressed-part to many-things
δ' εὔχρηστον τὸ ξυνιέναι. Οὕτως οὖν ἄρχεσθαι μὲν αἰεὶ
and useful the to-understand So then to-begin indeed always
χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεξιν ἐκ τουτέου τοῦ χωρίου,
one-must the bandaging and the pressure from this the region
τὰ δ' ἄλλα κατὰ λόγον, ὡς προσωτέρω ἀπὸ τοῦ
the and other-parts in proportion as farther from the
κατήγματος ἀγάγῃς, ἐπὶ ἧσσον τὴν πίεξιν ποιέεσθαι. Χαλαρὰ
fracture you-lead to less the pressure to-make Loose
δὲ παντάπασι μηδέποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα.
and altogether never to-put-round but close-fitting
Ἔπειτα δὲ πλείοσιν ὀθονίοισι χρὴ ἐπιδεῖν ἑκάστην τῶν
Then and with-more linen-strips one-must to-bandage each of-the
ἐπιδεσίων. Ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλόν οἱ
bandagings Being-asked and let-him-say a-little more to-him
πεπιέχθαι, ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ
to-have-been-pressed than the before and most let-him-say at

τὸ κάτηγμα, καὶ τὰ ἄλλα δὲ κατὰ λόγον· καὶ ἀμφὶ τῷ
the fracture and the other-parts and in proportion and about the
οἰδήματι, καὶ ἀμφὶ τῷ πονέειν, καὶ ἀμφὶ τῷ ῥηϊζειν, κατὰ
swelling and about the being-in-pain and about the being-relieved in
λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. Ἐπὴν δὲ τριταῖος
proportion to-the former bandaging let-it-be Whenever and on-the-third-day
ᾖ, χαλαρώτερά οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα.
he-be looser to-him let-them-seem to-be the bandages
Ἔπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι, ὀλίγῳ μᾶλλον
Then having-undone one-must again to-bandage a-little more
πιέζοντα, καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν οἷσί περ ἤμελλεν
pressing and in all the linen-strips with-which indeed he-was-to
ἐπιδεῖσθαι· καὶ ἔπειτα αὐτὸν πάντα ταῦτα καταλαβέτω,
to-be-bandaged and then him all these-things let-overtake
ἅπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων.
which also in the first rounds of-the bandagings
Ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς 6
Whenever and on-the-third-day he-becomes on-the-seventh and from the
πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα
first bandaging if correctly he-be-bandaged the indeed swelling
ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα· τὸ δ’
in end the hand will-be not-even this too great the but
ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ τὸ
bandaged region in all the bandagings to the
λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται, ἐν δὲ τῇ ἑβδόμῃ
thinner and leaner will-be-found on and the seventh
καὶ πάνυ λεπτὸν, καὶ τὰ ὀστέα τὰ κατεηγότα ἐπὶ μᾶλλον
also very thin and the bones the broken to more
κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. Καὶ ἢν ᾖ ταῦτα
moving and easily-brought to straightening And if be these
τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας,
such having-straightened one-must to-bandage as for splints

ὀλίγῳ μᾶλλον πιέσαντα, ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις
a-little more having-pressed than the before if not pain any
πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. Ἐπὴν
greater be from the swelling the in end the hand Whenever
δὲ ἐπιδήσῃς τοῖσιν ὀθονίοισι, τοὺς νάρθηκας περιθεῖναι
and you-bandage with-the linen-strips the splints to-put-round
χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν ὡς χαλαρωτάτοισιν,
one-must and to-enclose in the bands as loosest
ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν
as-much-as to-stay-still so-that nothing contribute to the pressure
τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. Μετὰ δὲ ταῦτα,
of-the arm the of-the splints application After and these-things
ὅ τε πόνος, αἵ τε ῥᾳστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵ
the both pain the and reliefs the same let-them-be which
περ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων.
indeed also in the first rounds of-the bandagings
Ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ' ἔπειτα
Whenever and on-the-third-day being he-say loose to-be then next
χρὴ τοὺς νάρθηκας ἐρείσασθαι, μάλιστα μὲν κατὰ τὸ
one-must the splints to-tighten most indeed at the
κάτηγμα, ἀτὰρ καὶ τἄλλα, κατὰ λόγον, ᾗπερ καὶ ἡ
fracture but also the-other-parts in proportion wherever also the
ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεζεν. Παχύτατον δὲ χρὴ
bandaging was-slack more than was-pressing Thickest and one-must
εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα, μὴ μὴν
be the splint where projected the fracture not however
πολλῷ. Ἐπιτηδεύειν δὲ χρὴ μάλιστα μὲν κατ' ἰθυωρίην
by-much To-take-care and one-must most indeed in straight-line
τοῦ μεγάλου δακτύλου, ὡς μὴ κείσηται ὁ νάρθηξ, ἀλλὰ
with-the great finger that not lie the splint but
τῇ ἢ τῇ, μηδὲ κατὰ τὴν τοῦ σμικροῦ ἰθυωρίην ᾗ
this-way or that-way nor at the of-the small straight-line where

τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ.
the bone projects at the wrist but this-way or that-way
Ἢν δὲ ἄρα πρὸς τὸ κάτηγμα ξυμφέρῃ κεῖσθαι κατὰ
If but then toward the fracture it-be-of-advantage to-lie at
ταῦτά τινας τῶν ναρθήκων, βραχυτέρους αὐτοὺς χρὴ
these-places some of-the splints shorter them one-must
τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα
than-the others to-make so-that not they-reach to the bones
τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν· κίνδυνος γὰρ ἑλκώσιος,
the projecting beside the wrist danger for of-ulceration
καὶ νεύρων ψιλώσιος. Χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι
and of-sinews laying-bare One-must and every third-day to-press with-the
νάρθηξι πάνυ ἡσυχῇ, οὕτω τῇ γνώμῃ ἔχοντα, ὡς οἱ
splints very gently so with-the mind being that the
νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέωνται,
splints of-guarding for-the-sake-of the bandaging lie-alongside
ἀλλ᾽ οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέωνται.
but not of-the pressure for-the-sake-of are-bandaged-on

III · REGIMEN, THE UPPER ARM, AND THE FOOT

With the bones straight, the splints stay on past twenty days and the forearm is firm in about thirty, held evenly in a broad sling. A broken upper arm is extended by a rod under the armpit and weights at the elbow, and is firm in forty days, a pad between elbow and ribs guarding its outward bow. The foot's small bones mend in twenty days, those joined to the leg in forty.

Ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται 7
If indeed then well you-know that sufficiently the bones have-been-straightened
ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσι, καὶ μήτε κνησμοί τινες
in the earlier bandagings and neither itchings any

λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾷν
trouble nor any ulceration none be-suspected to-be to-let
χρὴ ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν, ἔστ' ἂν ὑπὲρ εἴκοσιν
one-must to-be-bandaged in the splints until — over twenty
ἡμέρας γίνηται. Ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι
days it-be In thirty and mostly the in-all
κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν· ἀτρεκὲς
are-made-firm bones the in the forearm on-the whole exact
δὲ οὐδέν· μάλα γὰρ καὶ φύσις φύσιος, καὶ ἡλικίη ἡλικίης
but nothing very for both nature from-nature and age from-age
διαφέρει. Ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ, καὶ
differs Whenever and you-undo water hot to-pour-down one-must and
μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα, ἢ τὸ πρόσθεν,
to-rebandage less indeed a-little having-pressed than the before
ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον· καὶ ἔπειτα
with-fewer and the linen-strips than the before and then
διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον
every third day having-undone to-bandage to indeed less
πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. Ἐπὴν δὲ,
pressing to and fewer the linen-strips When and
ὅταν τοῖσι νάρθηξι δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς
when with-the splints it-is-bound you-suspect the bones not correctly
κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ
to-lie or other something trouble the wounded-man to-undo in the
ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν, καὶ αὖθις μετεπιδῆσαι.
half of-the time or a-little before and again to-rebandage
Δίαιτα δὲ τουτέοισιν, οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς
Regimen and for-these to-whom — not wounds from the-beginning
γένηται, ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκέει ὑποφαύλη· ἐνδεέστερον
arise or bones out stick-out suffices rather-light more-sparingly
δὲ χρὴ διαιτᾶν ἄχρις ἡμερέων δέκα, ἅτε ἤδη καὶ
and one-must to-diet until days ten since already also

ἐλινύοντας· καὶ ὄψοισιν ἁπαλοῖσι χρῆσθαι, ὁκόσα τῇ
being-at-rest and with-relishes soft to-use as-many-as to-the
διεξόδῳ μετριότητα παρασχήσει· οἴνου δὲ καὶ κρεηφαγίης
evacuation moderation will-provide from-wine but and meat-eating
ἀπέχεσθαι· ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι.
to-abstain then however by gradual-advance to-be-restored
Οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ
This the account like a-custom lies just about
κατηγμάτων ἰήσιος, ὥστε χειρίζειν χρὴ, καὶ ὥστε
of-fractures cure how to-handle one-must and how
ἀποβαίνει ἀπὸ τῆς δικαίης χειρίξιος· ὅ τι δ' ἂν μὴ
it-turns-out from the just handling what — and — not
οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι
so turns-out to-know one-must that in the handling something
ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασται. Ἔτι δὲ τάδε χρὴ
deficient has-been-done or has-been-overdone Further and these-things one-must
προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα
to-understand-besides in this the simple way which not very
ἐπιμελέονται οἱ ἰητροὶ, καίτοι πᾶσαν μελέτην καὶ πᾶσαν
attend-to the physicians and-yet all care and all
ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ, μὴ ὀρθῶς ποιεύμενα· ἢν
bandaging able — to-ruin is not correctly done if
γὰρ τὰ μὲν ὀστέα ἄμφω κατηγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ
for the indeed bones both be-broken or the lower only the and
ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένην,
bandaged-man in sling some the arm holds taken-up
τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα,
it-happens and the sling at the fracture most being
ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη
on-this-side but and on-that the arm hangs-free this-one necessity
τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω
the bone to-be-found twisted having toward the upper

μέρος· ἢν δὲ, κατεηγότων τῶν ὀστέων οὕτως, ἄκρην τε
part if but broken the bones so end both
τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ καὶ παρὰ τὸν ἀγκῶνα, ὁ
the hand in the sling he-hold and beside the elbow the
δὲ ἄλλος πῆχυς μὴ μετέωρος ἔῃ, οὗτος εὑρεθήσεται τὸ
but other forearm not raised be this-one will-be-found the
ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων. Χρὴ
bone toward the lower part twisted having One-must
οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ, μαλθακῇ, τὸ πλεῖστον τοῦ
then in sling breadth having soft the greater-part of-the
πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.
forearm and the wrist of-the hand evenly to-be-suspended

8 Ἢν δὲ ὁ βραχίων καταγῇ, ἢν μέν τις ἀποτανύσας
If but the upper-arm be-broken if indeed someone having-stretched-out
τὴν χεῖρα ἐν τουτέῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ
the arm in this the posture should-extend the muscle of-the
βραχίονος κατατεταμένος ἐπιδεθήσεται· ἐπὴν δ' ἐπιδεθεὶς
upper-arm extended will-be-bandaged whenever but bandaged
ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα
he-bends the elbow the muscle of-the upper-arm other posture
σχήσει. Δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε· ξύλον
will-have Most-just then of-upper-arm extension this a-stick
πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον, ὁκοῖοι οἱ στειλαιοί εἰσι
a-cubit-long or a-little shorter such-as the handles are
τῶν σκαφίων, κρεμάσαι χρὴ, ἔνθεν καὶ ἔνθεν σειρῇ
of-the spades to-hang one-must on-this-side and on-that with-a-cord
δήσαντα· καθίσαντα δὲ τὸν ἄνθρωπον ἐπὶ ὑψηλοῦ τινος,
having-tied having-seated and the man on high something
τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ
the arm to-lie-over so-that under the armpit be the
στειλαιὸς ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθίννυσθαι
handle being in-proportion so-that hardly to-be-able to-be-seated

τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι· ἔπειτα
the man little lacking raised to-be then
θέντα τι ἄλλο ἔφεδρον, καὶ ὑποθέντα σκύτινον
having-placed something other as-a-seat and having-put-under leather
ὑποκεφάλαιον, ἢ ἓν ἢ πλείω ὅκως ξυμμέτρως σχοίη
pillow either one or more so-that in-proportion it-have
ὕψεος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. Ἄριστον
of-height the forearm transverse toward right angle Best
μὲν σκύτος πλατὺ καὶ μαλθακὸν, ἢ ταινίην πλατέην
indeed leather broad and soft or band broad
ἀμφιβάλλοντα, τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ
putting-round of-the large some weights to-hang-on which
τι μετρίως ἕξει κατατείνειν· εἰ δὲ μὴ, τῶν ἀνδρῶν
— moderately will-be-able to-extend if but not of-the men
ὅστις ἐῤῥωμένος, ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος
whoever strong in this the posture of-the forearm
ἐόντος, παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω.
being at the elbow let-him-force to the lower-part
Ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ
The and physician upright indeed being let-him-operate the one foot on
ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσι θέναρσι τὸ
higher something having having-straightened and with-the palms the
ὀστέον· ῥηϊδίως δὲ κατορθώσεται· ἀγαθὴ γὰρ ἡ κατάστασις,
bone easily and it-will-be-straightened good for the arrangement
ἤν τις καλῶς παρασκευάσηται. Ἔπειτα ἐπιδείτω, τάς τε
if anyone well prepare Then let-him-bandage the both
ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα
beginnings placing on the fracture and the-other-things all
ὥσπερ πρότερον παρῃνέθη, χειριζέτω· καὶ ἐρωτήματα
as before was-advised let-him-handle and questions
ταὐτὰ ἐρωτάτω· καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν,
the-same let-him-ask and signs let-him-use the same

εἰ μετρίως ἔχει, ἢ οὔ· καὶ διὰ τρίτης ἐπιδείτω, καὶ
whether moderately it-is or not and every third-day let-him-bandage and
ἐπὶ μᾶλλον πιεζέτω· καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι
to more let-him-press and on-the-seventh or on-the-ninth in splints
δησάτω. Καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον,
let-him-bind And if he-suspect not well to-lie the bone
μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω, καὶ εὐθετισάμενος
in-the-middle-of this the time let-him-undo and having-arranged-well
μετεπιδησάτω. Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον
let-him-rebandage Is-made-firm and mostly of-upper-arm bone
ἐν τεσσαράκοντα ἡμέρῃσιν. Ἐπὴν δὲ ταύτας ὑπερβάλῃ,
in forty days When and these he-passes
λύειν χρὴ, καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισι, καὶ ἐπὶ
to-undo one-must and to less to-press with-the linen-strips and with
ἐλάσσοσιν ἐπιδεῖν. Δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ
fewer to-bandage Regimen and more-exact some than the
πρότερον διαιτᾶν, καὶ πλείω χρόνον· τεκμαίρεσθαι δὲ πρὸς
before to-diet and longer time to-judge and from
τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ, τὴν ῥώμην ὁρέων.
the swelling the in end the hand the strength observing
Προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι ὁ βραχίων κυρτὸς
To-understand-besides and one-must also these-things that the upper-arm convex
πέφυκεν ἐς τὸ ἔξω μέρος· ἐς τοῦτο τοίνυν τὸ μέρος
is-formed toward the outer part to this then the part
διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται· ἀτὰρ καὶ
to-be-twisted tends whenever not well it-is-treated but also
τἄλλα πάντα ὀστέα, ἐς ὅπερ πέφυκε διεστραμμένα,
the-other all bones toward which-very they-are-formed twisted
ἐς τοῦτο καὶ ἰητρευόμενα φιλέει διαστρέφεσθαι, ἐπὴν
to this also being-treated tend to-be-twisted whenever
κατεαγῇ. Χρὴ τοίνυν, ἐπὴν τοιοῦτό τι ὑποπτεύηται,
they-are-broken One-must then whenever such something be-suspected

ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ
with-band broad to-take-in-besides the upper-arm in-a-circle
περὶ τὸ στῆθος περιδέοντα· καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ,
round the chest binding-round and whenever to-rest he-is-about
μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνά τινα
in-the-middle-of the elbow and the ribs compress some
πουλύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι ὃ τουτέῳ
many-folded having-folded to-put-under or other something which this
ἔοικεν· οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο·
resembles so for — straight the curvature of-the bone would-become
φυλάσσεσθαι μέντοι χρὴ, ὅπως μὴ ᾖ ἄγαν ἐς τὸ ἔσω μέρος.
to-guard-against however one-must that not be too to the inner part
Ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν ὀστέων 9
Foot and of-man from many and small bones
ξύγκειται, ὥσπερ χεὶρ ἄκρη. Κατάγνυται μὲν οὐ πάνυ
is-composed just-as hand end Are-broken indeed not very
τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ
at-all these the bones if not with the skin being-wounded
ὑπὸ ὀξέος τινὸς ἢ βαρέος· τὰ μὲν οὖν τιτρωσκόμενα,
by sharp something or heavy the indeed then wounded
ἐν ἑλκωσίων μέρει εἰρήσεται, ὡς χρὴ ἰητρεύειν. Ἢν δέ
in of-ulcerations part will-be-told how one-must to-treat If but
τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον,
something be-moved from the place either of-the toes a-joint
ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου,
or other something of-the bones of-the tarsus so-called
ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον,
to-force indeed one-must into the its-own place each
ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται· ἰητρεύειν δὲ κηρωτῇ
just-as also the in the hand has-been-told to-treat and with-cerate
καὶ σπλήνεσι καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα,
and with-compresses and with-linen-strips just-as also the fractures

πλὴν τῶν ναρθήκων, τὸν μὲν αὐτὸν τρόπον πιεζεῦντα,
except the splints the indeed same way pressing
διὰ τρίτης δὲ ἐπιδέοντα· ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος
every third-day and bandaging let-him-reply and the bandaged-man
παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ
similar-things such-as indeed also in the fractures both about
τοῦ πεπιέχθαι, καὶ περὶ τοῦ χαλᾶν. Ὑγιέα δὲ γίνεται
the to-have-been-pressed and about the loosening Healthy and they-become
ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει
in twenty days completely all except as-many-as communicate
τοῖσι τῆς κνήμης ὀστέοισι· καὶ αὐτέῃ τῇ ἴξει.
with-the of-the leg bones and with-the-very the line
Ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον· ἀλλὰ γὰρ οὐ
Is-of-advantage and to-lie-down this the time but for not
τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται, πρὶν
they-dare disregarding the illness but they-go-about before
ὑγιέες γενέσθαι. Διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι
healthy to-become Because-of this also the most not recover
τελέως. Ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει·
completely But often them the pain reminds
εἰκότως· ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν.
reasonably whole for the weight of-the body the feet carry
Ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέωσι, φλαύρως
Whenever then not-yet healthy being they-walk badly
ξυναλθάσσεται τὰ ἄρθρα τὰ κινηθέντα· διὰ τοῦτο ἄλλοτε
heal the joints the moved because-of this now
καὶ ἄλλοτε ὁδοιπορέοντες ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ.
and again walking they-are-in-pain the toward the leg
10 Τὰ δὲ κοινωνέοντα τοῖσι τῆς κνήμης ὀστέοισι μείζω τε
The but communicating with-the of-the leg bones larger both
τῶν ἑτέρων ἐστὶ, καὶ κινηθέντων τούτων πουλυχρονιωτέρη
than-the others are and moved these longer

ἡ ἄλθεξις. Ἴησις μὲν οὖν ἡ αὐτή· ὀθονίοισι δὲ πλείοσι
the healing Cure indeed then the same with-linen-strips and more
χρέεσθαι, καὶ σπλήνεσιν· καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν
to-use and compresses and over all on-this-side and on-that
ἐπιδέειν· πιέζειν δὲ, ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ
to-bandage to-press and just-as also the-other-things all here
μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν
most where it-was-moved and the first turns of-the
ὀθονίων κατὰ ταῦτα ποιέεσθαι. Ἐν δὲ ἑκάστῃ τῶν
linen-strips at these-places to-make In and each of-the
ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρέεσθαι· ἐν πᾶσι δὲ
undoings water much hot to-use in all and
πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ᾽ ἄρθρα σίνεσιν.
much water hot to-pour-down on-the at joints injuries
Αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν τοῖσιν αὐτέοισι χρόνοισι
The and pressures and the loosenings in the same times
τὰ αὐτὰ σημεῖα δεικνυόντων, ἅπερ ἐπὶ τοῖσι
the same signs let-them-show which-very in-the-case-of the
πρόσθεν· καὶ τὰς μετεπιδέσιας ὡσαύτως χρὴ ποιέεσθαι.
before and the rebandagings likewise one-must to-make
Ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι
Healthy and completely these become in forty days
μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι· ἢν δὲ μὴ, πάσχουσι
mostly if they-dare to-lie-down if but not they-suffer
ταῦτα ἃ καὶ πρότερον, καὶ ἐπὶ μᾶλλον.
these-things which also before and to more

Landing hard on the heel parts its bones and bruises its flesh, and bad bandaging or careless lying can mortify it, with fatal fever. It is bound mostly round the heel, the foot kept high; red, hard bruises warn of relapse, and it heals in sixty days. The leg's two bones join at both ends. A slipped ankle needs strong extension, by two men or thongs levered from a buried hub; a city physician should own a bench for all reductions.

11 Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινος ἐστηρίξαντο τῇ
As-many-as and having-leapt from high something landed on-the
πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐσταται μὲν τὰ ὀστέα, φλέβια
heel strongly in-these are-separated indeed the bones little-veins
δ' ἐκχυμοῦνται ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον,
and are-effused contused-all-round the flesh around the bone
οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος πουλύς. Τὸ γὰρ ὀστέον
swelling and supervenes and pain much The for bone
τοῦτο οὐ σμικρόν ἐστι, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην
this not small is and projects indeed below the straight-line
τῆς κνήμης, κοινωνέει δὲ φλεψὶ καὶ νεύροισιν ἐπικαίροισιν·
of-the leg communicates and with-veins and sinews important
ὁ τένων δὲ ὁ ὀπίσθιος τούτῳ προσήρτηται τῷ ὀστέῳ.
the tendon and the back to-this is-attached the bone
Τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσι
These one-must to-treat indeed with-cerate and compresses
καὶ ὀθονίοισιν· ὕδατι δὲ θερμῷ πλείστῳ ἐπὶ τουτέοισι
and linen-strips with-water and hot very-much in these
χρῆσθαι· καὶ ὀθονίων πλειόνων ἐπὶ τουτέοισι δεῖ, καὶ
to-use and linen-strips more in these there-is-need and
ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων. Καὶ ἢν μὲν
otherwise as best and gentlest And if indeed
τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχων τὸ ἀμφὶ τῇ πτέρνῃ,
he-happen soft the skin by-nature having the around the heel

ἐᾷν οὕτως· ἢν δὲ παχὺ καὶ σκληρὸν, οἷα μετεξέτεροι
to-leave so if but thick and hard such-as some
ἴσχουσιν, κατατάμνειν χρὴ ὁμαλῶς, καὶ διαλεπτύνειν μὴ
have to-pare-down one-must evenly and to-thin not
διατιτρώσκοντα. Ἐπιδεῖν δὲ ἀγαθῶς οὐ παντὸς ἀνδρός
cutting-through To-bandage and well not of-every man
ἐστι τὰ τοιαῦτα· ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ τὰ ἄλλα
is the such-things if for anyone bandage just-as also the others
τὰ κατὰ τὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα
the at the ankles are-bandaged at-times indeed round the foot
περιβαλλόμενος, ὁτὲ δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες
putting-round at-times and round the tendon the tight-bindings
αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ φλάσμα ἐγένετο· καὶ
these separate the heel where the bruise arose and
οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης· καίτοι
so danger to-mortify the bone the of-the heel and-yet
ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν ἀντίσχειν τὸ νόσημα.
if it-mortify the lifetime whole enough to-hold-out the disease
Καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει,
And for the-others as-many-as not from such way mortify
ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης
but in lying-down blackened the heel through neglect
τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γενομένου ἐπικαίρου
of-the posture or in leg wound having-arisen important
καὶ χρονίου καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ
and chronic and communicating with-the heel or in thigh or
ἐπὶ ἄλλῳ νουσήματι ὑπτιασμοῦ χρονίου γενομένου, ὁμῶς
in other disease supine-lying chronic having-arisen nevertheless
καὶ τοῖσι τοιούτοισι χρόνια, καὶ ὀχλώδεα, καὶ πολλάκις
also for-the such chronic and troublesome and often
ἀναῤῥηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ,
breaking-open-again if not good indeed with-care it-be-treated

πολλῇ δ᾽ ἡσυχίῃ, ὡς τά γε σφακελίζοντα· ἐκ τοῦ
much and with-rest since the at-least mortifying from the
τοιούτου δὲ τρόπου σφακελίζοντα καὶ κινδύνους μεγάλους
such and way mortifying also dangers great
τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ. Καὶ γὰρ
to-the body provide in-addition-to the other harm And for
πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης
fevers very-acute continuous trembling hiccuping the-mind
ἁπτόμενοι, καὶ ὀλιγήμεροι, κτείνοντές τε· γένοιντο δ᾽
touching and few-days killing both would-arise and
ἂν καὶ φλεβῶν αἱμορρόων πελιώσιες, ναυσιώσιες, καὶ
— also of-veins blood-flowing lividities nauseas and
γαγγραινώσιες ὑπὸ τῆς πιέξιος· γένοιτο δ᾽ ἂν ταῦτα
gangrenes from the pressure would-arise and — these
ἔξω τοῦ ἄλλου σφακελισμοῦ. Ταῦτα μὲν οὖν εἴρηται,
outside the other mortification These-things indeed then have-been-told
οἷα τὰ ἰσχυρότατα φλάσματα γίνεται· τὰ μέντοι
of-what-sort the strongest bruises become the however
πλεῖστα ἡσυχαίως ἀμφιφλᾶται, καὶ οὐδεμίῃ πολλῇ σπουδῇ
most gently are-contused and no much effort
τῆς μελέτης, ἀλλ᾽ ὅμως ὀρθῶς γε χρὴ χειρίζειν.
of-the care but nevertheless correctly at-least one-must to-handle
Ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε
Whenever however strong it-seem to-be the impact the both
εἰρημένα ποιέειν χρὴ, καὶ τὴν ἐπίδεσιν τὴν πλείστην
things-said to-do one-must and the bandaging the most
ποιέεσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς
to-make around the heel putting-round at-times toward
τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα, ἄλλοτε πρὸς τὰ
the ends of-the foot putting-round-the-other-way at-times toward the
μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην· προσεπιδεῖν
middle at-times toward the-parts around the leg to-bandage-in-addition

δὲ καὶ τὰ πλησίον πάντα ἔνθεν καὶ ἔνθεν, ὥσπερ
and also the near-parts all on-this-side and on-that just-as
καὶ πρόσθεν εἴρηται· καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν
also before has-been-said and strong indeed not to-make the
πίεξιν, ἐν πολλοῖσι δὲ τοῖσιν ὀθονίοισιν· ἄμεινον δὲ καὶ
pressure in many and the linen-strips better and also
ἐλλέβορον πιπίσκειν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ· ἀπολῦσαι
hellebore to-give-to-drink the-same-day or on-the next-day to-undo
δὲ τριταῖον, καὶ αὖθις μετεπιδῆσαι. Σημεῖα δὲ τάδε,
and on-the-third-day and again to-rebandage Signs and these
ἢν παλιγκοταίνῃ, ἢ οὔ· ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν
whether it-relapse or not when indeed the effusions of-the
φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα
veins and the black-patches and the near those reddish
γίνηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. Ἀλλ' ἢν
become and hardish danger to-relapse But if
μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ, ὥσπερ εἴρηται,
indeed fever-free he-be to-purge upward one-must as has-been-said
καὶ ὅσα ἂν μὴ ξυνεχῆ πυρεταίνηται· ἢν δὲ ξυνεχῆ
and as-many-as — not continuously are-feverish if but continuously
πυρεταίνηται, μὴ φαρμακεύειν, ἀπέχειν δὲ σιτίων καὶ
they-be-feverish not to-purge to-keep-from and food and
ῥοφημάτων, ποτῷ δὲ χρῆσθαι ὕδατι, καὶ μὴ οἴνῳ, ἀλλὰ τῷ
gruels for-drink and to-use water and not wine but the
ὀξυγλυκεῖ. Ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν, τὰ ἐκχυμώματα
sour-sweet If but not be-about to-relapse the effusions
καὶ τὰ μελάσματα καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται
and the black-patches and the surrounding-parts yellowish become
καὶ οὐ σκληρά· ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσι τοῖσιν
and not hard good this the evidence in all the
ἐκχυμώμασιν, τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν· ὅσα
effusions those not about to-relapse as-many-as

δὲ σὺν σκληρύσμασι πελιοῦται, κίνδυνος μὲν μελανθῆναι.
but with indurations become-livid danger indeed to-be-blackened
Τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ, ὅκως ἀνωτέρω τοῦ
The and foot to-take-care one-must that higher than-the
ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. Ὑγιὴς δ' ἂν
other body will-be the most a-little Healthy and —
γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμέοι.
he-would-become in sixty days if be-keep-still

12 Ἡ δὲ κνήμη δύο ὀστέα ἐστὶ, τῇ μὲν συχνῷ λεπτότερον
The and leg two bones is on-this indeed much thinner
τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον·
the one than-the other on-that and not by-much thinner
ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν
are-joined and to-one-another the toward the foot and epiphysis
κοινὴν ἔχει, ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται· τὰ
common have in straight-line but of-the leg not are-joined the
δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει, καὶ
but toward the thigh are-joined and epiphysis have and
ἡ ἐπίφυσις διάφυσιν· μακρότερον δὲ τὸ ἕτερον ὀστέον
the epiphysis a-diaphysis longer and the one bone
σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον· ἡ μὲν φύσις
a-little the by the small toe the indeed nature
τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ.
such of-the bones of-those in the leg

13 Ὀλισθάνει δὲ ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδὸς, ὁτὲ μὲν
Slip-out and there-is when the-parts toward the foot at-times indeed
ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα, ὁτὲ δὲ ἡ ἐπίφυσις
with the epiphysis both the bones at-times and the epiphysis
ἐκινήθη, ὁτὲ δὲ τὸ ἕτερον ὀστέον. Ταῦτα δὲ ὀχλώδεα μὲν
was-moved at-times and the one bone These and troublesome indeed
ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρέων, εἰ τολμῷεν
less than the-ones in the wrist of-the hands if they-dared

ἀτρεμέειν οἱ ἄνθρωποι. Ἴησις δὲ παραπλησίη, οἵη περ
to-keep-still the men Cure and similar such indeed
ἐκείνων· τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος
of-those the both for reduction one-must to-make from extension
ὥσπερ ἐκείνων, ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος,
just-as of-those stronger and it-needs the extension
ὅσῳ καὶ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. Ἐς τὰ πλεῖστα
as-much-as also stronger the body here For the most
μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν
indeed for suffice men two the one this-way the other that-way
τείνοντες. Ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηϊδίον ἐστι
stretching If but not they-be-strong stronger easy is
ποιέειν τὴν κατάτασιν· ἢ γὰρ πλήμνην κατορύξαντα
to-make the extension either for nave having-buried-in-the-ground
χρὴ, ἢ ἄλλο τι ὅ τι τούτῳ ἔοικεν, μαλθακόν τι
one-must or other something which — this resembles soft something
περὶ τὸν πόδα περιβάλλειν· ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι
round the foot to-put-round then with-broad ox-hide thongs
περιδήσαντα τὸν πόδα, τὰς ἀρχὰς τῶν ἱμάντων, ἢ
having-bound-round the foot the ends of-the thongs either
πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντα, τὸ ξύλον
to pestle or to other wood having-tied the wood
πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα ἐπανακλᾶν· τοὺς δὲ
into the nave its-end having-put-in to-lever-back the and
ἀντιτείνειν, ἄνωθεν τῶν τε ὤμων ἐχομένους καὶ τῆς ἰγνύης.
to-counter-stretch from-above of-the both shoulders holding and of-the knee-hollow
Ἔστι δὲ καὶ τὸ ἄνω τοῦ σώματος ἀνάγκῃ προσλαβεῖν·
It-is and also the upper-part of-the body by-force to-take-in
τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον, λεῖον, κατορύξας
this indeed if you-wish wood round smooth having-buried
βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ
deeply part some of-it projecting of-the wood between

τῶν σκελέων ποιήσασθαι παρὰ τὸν περίνεον, ὡς κωλύῃ
the legs to-make beside the perineum so-that it-prevent
ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν· ἔπειτα
to-follow the body those toward the-feet stretching then
πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν, τὸν δέ τινα
toward the stretched leg not to-lean the and someone
πλάγιον παρακαθήμενον ἀπωθέειν τὸν γλουτὸν, ὡς μὴ
sideways sitting-beside to-push the buttock so-that not
περιέλκηται τὸ σῶμα. Τοῦτο δὲ καὶ ἢν βούλῃ, περὶ τὰς
be-dragged-round the body This and also if you-wish round the
μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπέπηγεν, αἱ δὲ
armpits on-this-side and on-that the posts are-fixed the and
χεῖρες παρατεταμέναι φυλάσσονται, προσεπιλαμβανέτω δέ
arms stretched-alongside are-kept let-take-hold-besides and
τις κατὰ τὸ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο. Τοῦτο δ'
someone at the knee and so it-would-be-counter-stretched This and
ἢν παρὰ τὸ γόνυ βούληται, ἄλλους ἱμάντας περιδήσας, ἢ
if at the knee he-wish other thongs having-bound-round or
περὶ τὸν μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας,
round the thigh nave another above the-head having-buried
ἐξαρτήσας τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων
having-hung the thongs from some wood the wood resting
ἐς τὴν πλήμνην, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. Τοῦτο
into the nave the-opposite-way to-those toward the-feet to-pull This
δ' ἢν βούλῃ, ἀντὶ τῶν πλημνέων δοκίδα ὑποτείνας
and if you-wish instead-of the naves a-beam having-stretched-under
ὑπὸ τὴν κλίνην μετρίην, ἔπειτα πρὸς τῆς δοκίδος ἔνθεν
under the bed moderate then against the beam on-this-side
καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων καὶ ἀνακλῶν τὰ ξύλα,
and on-that the head resting and levering-back the posts
κατατείνειν τοὺς ἱμάντας· ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας
to-stretch the thongs if but you-wish windlasses having-set-up

ἔνθεν καὶ ἔνθεν, ἐπ᾽ ἐκείνων τὴν κατάτασιν ποιέεσθαι.
on-this-side and on-that on those the extension to-make
Πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. Ἄριστον δὲ, ὅστις
Many and also other ways of-extensions Best and whoever
ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον,
in a-city great practices to-have-acquired a-fitted wood
ἐν ᾧ πᾶσαι αἱ ἀνάγκαι ἔσονται πάντων μὲν κατηγμάτων,
in which all the forces will-be of-all indeed fractures
πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος·
of-all and joints of-reduction from extension and leverage
ἀρκέει δὲ τὸ ξύλον, ἢν ᾖ τοιοῦτον οἷον οἱ τετράγωνοι
suffices and the wood if it-be such as the square
τρίβολοι δρυΐινοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος.
threshing-sledges of-oak are length and breadth and thickness

V · REDUCING THE ANKLE AND SETTING THE LEG

Well extended, the ankle is easily reduced and set with the palms, bandaged with the foot raised, and the diet lowered as the slip was great; lying still, the patient is sound in forty days, while a joint left unsettled wastes hip, thigh, and leg. Both leg bones broken need stronger extension. Unlike the arm, the leg is bandaged straight and laid level; gutters do less than people think. Rebandaging follows the forearm's rule; splints go on by the eleventh day, clear of ankles and tendon, and the bones are firm in forty days.

Ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς, ῥηϊδιον ἤδη τὸ ἄρθρον 14
Whenever and sufficiently you-extend easy already the joint
ἐμβαλεῖν· ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης
to-reduce it-is-raised-over for into straight-line over the original
ἕδρης. Κατορθοῦσθαι οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν,
seat To-be-set-straight then one-must with-the palms of-the hands

τοῖσι μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δὲ ἐπὶ
with-the-one indeed into the displaced-part pressing with-the-others and on
θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντα. Ἐπὴν δὲ
the-other-side lower than-the ankle counter-pressing Whenever and
ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένα ἐπιδεῖν χρή·
you-reduce if indeed possible — it-be extended to-bandage one-must
ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα
if but it-be-prevented by the thongs those having-undone
ἀντικατατείνειν, ἔστ' ἄν ἐπιδήσῃς. Ἐπιδεῖν δὲ τὸν αὐτὸν
to-counter-extend until — you-bandage To-bandage and the same
τρόπον, καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ
way and the beginnings likewise placing at the
ἐξεστηκὸς, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ
displaced-part and the turns the first most at
τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο,
this to-make and the compresses most at this
καὶ τὴν πίεξιν μάλιστα κατὰ τωὐτό· προσεπιδεῖν δὲ καὶ
and the pressure most at the-same-place to-bandage-besides and both
ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. Μᾶλλον δέ τι τοῦτο
on-this-side and on-that over much More and somewhat this
τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει, ἢ
the joint to-have-been-pressed one-must in the first bandaging than
τὸ ἐν τῇ χειρί. Ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ
the in the arm Whenever and you-bandage higher indeed than-the
ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθὲν, τὴν δὲ θέσιν δεῖ
other body let-it-have the bandaged-part the and placing must
ποιέεσθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς.
to-make so that least will-hang-free the foot
Τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτω ποιέεσθαι, ὁκοίην
The and thinning of-the body so to-make of-what
τινὰ δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα· τὰ μὲν γὰρ σμικρὸν,
some power has also the slipping the indeed for small

τὰ δὲ μέγα ὀλισθάνει. Τὸ ἐπίπαν δὲ ἰσχναίνειν μᾶλλον
the-others but great slip-out On-the whole and to-thin more
καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ τὰ σκέλεα
and over longer time one-must in the in the legs
τρώμασιν, ἢ ἐν τοῖσι κατὰ τὰς χεῖρας· καὶ γὰρ μέζω καὶ
wounds than in the in the arms and for greater and
παχύτερα ταῦτα ἐκείνων· καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν
thicker these than-those and indeed also necessary to-rest
τὸ σῶμα καὶ κατακεῖσθαι. Μετεπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε
the body and to-lie-down To-rebandage and the joint neither
τι κωλύει τριταῖον, οὔτε κατεπείγει. Καὶ τὰ ἄλλα
anything prevents on-the-third-day nor presses And the other-things
πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ
all similarly one-must to-treat just-as also the
παροιχόμενα. Καὶ ἢν μὲν τολμᾷ ἀτρέμα κατακεῖσθαι, ἱκαναὶ
past-things And if indeed he-dare still to-lie sufficient
τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ
forty days if only into the their-own place the
ὀστέα αὖθις καθίζηται· ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο
bones again settle if but not he-wish to-keep-still he-would-use
μὲν ἂν οὐ ῥᾳδίως τῷ σκέλεϊ, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ᾽
indeed — not easily the leg to-be-bandaged and he-would-be-compelled
ἂν πουλὺν χρόνον. Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως
— long time As-many-as however of-the bones not completely
ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ
settle into the their-own place but something falls-short in-the
χρόνῳ λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη· καὶ ἢν
time is-thinned hip and thigh and leg and if
μὲν εἴσω ὀλίσθῃ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δὲ ἔξω,
indeed inward it-slip the outer part is-thinned if but outward
τὸ εἴσω. Τὰ πλεῖστα δὲ ἐς τὸ ἔσω ὀλισθάνει.
the inner The most and toward the inward-part slip

15 Ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος,
Whenever and of-leg bones both be-broken without ulceration
κατατάσιος ἰσχυροτέρης δεῖται. Τείνειν δὲ τουτέων
extension stronger it-needs To-stretch and of-these
τῶν τρόπων ἐνίοισι τῶν προειρημένων, ἢν μεγάλαι αἱ
the ways by-some of-the aforesaid if great the
παραλλάξιες ἔωσιν. Ἱκαναὶ δὲ καὶ αἱ ἀπὸ τῶν ἀνδρῶν
overlappings be Sufficient and also the from the men
κατατάσιες· τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες
extensions the most for would-suffice — two men
ἐῤῥωμένοι, ὁ μὲν ἔνθεν, ὁ δ’ ἔνθεν ἀντιτείνοντες.
strong the one this-way the other that-way counter-stretching
Τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν καὶ κατὰ
To-stretch and into the straight one-must according-to nature and in
τὴν ἰθυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ, καὶ ἢν κνήμης
the straight-line of-the leg and of-the thigh both if of-leg
ὀστέα κατεηγυίης κατατείνῃς, καὶ ἢν μηροῦ. Καὶ ἐπιδεῖν
bones broken you-extend and if of-thigh And to-bandage
δὲ οὕτως, ἐκτεταμένων ἀμφοτέρων, ὁκότερον ἂν τουτέων
and so stretched-out both whichever — of-these
ἐπιδέῃς· οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλει τε καὶ χειρί.
you-bandage not for the-same is-of-advantage to-leg both and to-arm
Πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεθῶσιν ὀστέα
Of-forearm indeed for and of-upper-arm whenever they-are-bandaged bones
κατεηγότα, ἀναλαμβάνεται ἡ χεὶρ, καὶ ἢν ἐκτεταμένα
broken is-taken-up the arm and if stretched
ἐπιδέῃς, τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦται ἐν τῇ
you-bandage the shapes of-the flesh are-altered in the
ξυγκάμψει τοῦ ἀγκῶνος· ἀδύνατος γὰρ ὁ ἀγκὼν
bending of-the elbow unable for the elbow
ἐκτετάσθαι πουλὺν χρόνον· οὐ γὰρ πολλάκις ἐν τοιούτῳ
to-be-extended long time not for often in such

εἴθισται ἐσχηματίσθαι, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι· καὶ
it-is-accustomed to-be-postured but in the being-bent and
δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιιέναι, ἐπὴν κατὰ
indeed also since being-able the men to-go-about whenever in
χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται.
arm they-are-wounded to-be-bent at the elbow they-need
Σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν καὶ ἐν τῷ ἑστάναι
Leg but in both the walkings and in the standing
εἴθισται ὁτὲ μὲν ἐκτετάσθαι, ὁτὲ δὲ σμικροῦ δεῖν
is-accustomed at-times indeed to-be-extended at-times and little to-want
ἐκτετάσθαι· καὶ εἴθισται καθεῖσθαι ἐς τὸ κάτω κατὰ
to-be-extended and is-accustomed to-hang-down to the lower-part according-to
φύσιν, καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα· διὰ
nature and indeed also toward the to-carry the other body because-of
τοῦτο εὔφορον αὐτῷ ἐστι τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ·
this easy for-it is the to-be-extended when necessity hold
καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ
and indeed also in the beds often in the posture this
ἐστίν· ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν
it-is whenever and indeed it-be-wounded necessity enslaves the
γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται, ὥστε οὐδὲ
mind because unable to-be-raised they-become so-that not-even
μέμνηνται περὶ τοῦ ξυγκαμφθῆναι καὶ ἀναστῆναι, ἀλλὰ
they-remember about the to-be-bent and to-stand-up but
ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. Διὰ οὖν
they-keep-still in this the posture lying Because-of then
ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις,
these the reasons of-arm and of-leg neither the extension
οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. Ἢν μὲν
nor the bandaging of-the posture is-of-advantage the same If indeed
οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐ δεῖ
then sufficient the extension the from the men be not it-is-needful

μάτην πονέεσθαι· καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν
in-vain to-toil and for more-clumsy to-contrive-machines nothing
δέον· ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν,
needful if but not sufficient the extension the from the men
καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκέων προσφέρειν, ἤν τινά
also of-the other some of-the forces to-apply which some
γε προσχωρέοι. Ὅταν δὲ δὴ ἱκανῶς καταταθῇ, ῥηϊδιον
at-least may-be-at-hand Whenever and indeed sufficiently it-be-extended easy
ἤδη κατορθώσασθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν,
already to-set-straight the bones and into the nature to-bring
τοῖσι θέναρσι τῶν χειρέων ἀπευθύνοντα καὶ ἐξευκρινέοντα.
with-the palms of-the hands straightening and adjusting
16 Ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισι κατατεταμένα,
Whenever and he-set-straight to-bandage with-the linen-strips extended
ἤν τ' ἐπὶ δεξιὰ, ἤν τ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ
if both to right if both to left to-carry-round it-be-of-advantage
αὐτέοισι τὰ πρῶτα ὀθόνια· βαλλέσθω δὲ τὴν ἀρχὴν
for-them the first linen-strips let-him-place and the beginning
τοῦ ὀθονίου κατὰ τὸ κάτηγμα, καὶ περιβαλλέσθω κατὰ
of-the linen-strip at the fracture and let-him-put-round at
τοῦτο τὰς πρώτας περιβολάς· κἄπειτα νεμέσθω ἐπὶ
this the first turns and-then let-him-proceed to
τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι
the upper leg bandaging just-as in-the-case-of the other
κατήγμασιν εἴρηται. Τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι,
fractures has-been-said The and linen-strips broader one-must be
καὶ μακρότερα καὶ πλέω πουλὺ τὰ κατὰ τὸ σκέλος
and longer and more much the-ones on the leg
τῶν ἐν τῇ χειρί. Ἐπὴν δὲ ἐπιδήσῃς, καταθεῖναι ἐφ'
than-those in the arm Whenever and you-bandage to-lay-down on
ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διεστράφθαι ἢ
level something and soft so-that not to-be-twisted either

τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι· μάλιστα
this-way or that-way neither bent-forward nor bent-back to-be most
δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λίνεον, ἢ ἐρίνεον, μὴ
and is-of-advantage a-cushion either linen or woolen not
σκληρὸν, λαπαρὸν μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι,
hard hollowed middle along length having-made to-put-under
ἢ ἄλλο τι ὁ τούτῳ ἔοικεν. Περὶ γὰρ τῶν σωλήνων
or other something which this resembles About for the gutters
τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα, ἀπορέω
the being-put-under under the legs the broken I-am-at-a-loss
ὅ τι ξυμβουλεύσω, εἰ ὑποτιθέναι χρὴ ἢ οὔ.
what — I-shall-advise whether to-put-under one-must or not
Ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες
They-benefit indeed for not as-much-as but those putting-under
οἴονται. Οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς
think Not for compel the gutters to-keep-still as
οἴονται· οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ ἢ ἔνθα,
they-think neither for the other body turning either this-way
ἢ ἔνθα, ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος,
or that-way does-compel the gutter not to-follow the leg
ἢν μὴ ἐπιμελῆται αὐτὸς ὥνθρωπος. Οὔτε αὖ τὸ σκέλος
if not take-care himself the-man Nor again the leg
ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι ἢ τῇ
without the body prevents the gutter to-be-moved either this-way
ἢ τῇ. Ἀλλὰ μὴν ἀστεργέστερον ξύλον ὑποτετάσθαι,
or that-way But indeed more-unpleasant wood to-be-stretched-under
ἢν μὴ ὁμῶς ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ.
if not nevertheless — anyone soft something into it put
Εὐχρηστότατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσι, καὶ ἐν
Most-useful but it-is in the changes-of-bedding and in
τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. Ἔστιν οὖν σὺν σωλῆνι καὶ
the to stool goings It-is then with gutter and

ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι·
without gutter both well and badly to-arrange
πιθανώτερον δὲ τοῖσι δημότῃσίν ἐστι, καὶ τὸν ἰητρὸν
more-persuasive and to-the laymen it-is also the physician
ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται· καίτοι
more-blameless to-be if a-gutter lie-under and-yet
ἀτεχνέστερόν γέ ἐστιν. Δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ
less-skilled at-least it-is It-is-needful indeed for on level
καὶ μαλθακοῦ κεῖσθαι πάντη πάντως ἐς ἰθύ· ἐπεί τοί
and soft to-lie in-every-way altogether into straight since surely
γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς
at-least necessity to-be-overpowered the bandaging by the twisting
τῆς ἐν τῇ θέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσα ἂν ῥέπῃ.
the in the placing wherever — it-incline and as-much-as — it-incline
Ὑποκρινέσθω δὲ ὁ ἐπιδεδεμένος ταὐτὰ, ἅπερ καὶ
Let-him-reply and the bandaged-man the-same-things which also
πρότερον εἴρηται· καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην
before has-been-said and for the bandaging one-must such
εἶναι, καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα,
to-be and the swelling so to-rise-up into the extremities
καὶ τὰς χαλάσιας οὕτω, καὶ τὰς μετεπιδέσιας διὰ
and the loosenings so and the rebandagings every
τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ
third-day and let-be-found leaner the bandaged-part and
τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλέοσι τοῖσιν
the bandagings to more to-make and with-more the
ὀθονίοισιν· περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν
linen-strips to-enclose both also the foot loosely if
μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ τρῶμα. Κατατείνειν
not too near be of-the knee the wound To-extend
δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ
and moderately and to-set-straight-again at each bandaging one-must

τὰ ὀστέα· ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον
the bones if for correctly indeed it-be-treated in proportion
δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον καὶ ἰσχνότερον
and the swelling proceed still indeed thinner and leaner
τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ αὖ παραγωγότερα
the bandaged region will-be still and again more-movable
τὰ ὀστέα, ἐνακούοντα τῆς κατατάσιος μᾶλλον. Ἐπὴν
the bones obeying the extension more Whenever
δὲ ἑβδομαῖος, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος γένηται, τοὺς
and on-the-seventh or on-the-ninth or on-the-eleventh it-be the
νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖσιν ἄλλοισι
splints to-apply just-as also in-the-case-of the other
κατήγμασιν εἴρηται. Τῶν δὲ ναρθήκων τὰς ἐνέδρας χρὴ
fractures has-been-said Of-the and splints the lodgments one-must
φυλάσσεσθαι κατά τε τῶν σφυρῶν τὴν ἴξιν, καὶ κατὰ
to-guard-against at both of-the ankles the line and at
τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. Ὀστέα δὲ
the tendon the in the leg of-the foot Bones and
κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢν ὀρθῶς
of-leg are-made-firm in forty days if correctly
ἰητρεύηται. Ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαί
it-be-treated If but you-suspect of-the bones any to-need
τινος διορθώσιος, ἢ τινα ἕλκωσιν ὀῤῥωδέῃς, ἐν τῷ μεσηγὺ
some setting-straight or some ulceration you-fear in the intervening
χρόνῳ χρὴ λύσαντα καὶ εὐθετισάμενον μετεπιδῆσαι.
time one-must having-undone and having-adjusted to-rebandage

One broken leg bone needs weaker extension, never slack; the inner shin bone, which carries the weight, is harder to treat and slower to walk on. A broken thigh needs the strongest extension, since too much does no harm and a short thigh lames; bandaged like the leg, minding its outward and forward bow, it is firm in fifty days. Swellings take greasy wool. A gutter short of the knee-hollow harms; the heel must be well placed, or the shin heals bowed.

17 Ἢν δὲ τὸ ἕτερον ὀστέον κατεηγῇ ἐν κνήμῃ, κατατάσιος
If but the one bone be-broken in leg extension
μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ
indeed weaker it-needs not however to-fall-short one-must nor
βλακεύειν ἐν τῇ κατατάσει, μάλιστα μὲν ἐν τῇ πρώτῃ
to-be-slack in the extension most indeed in the first
ἐπιδέσει κατατείνεσθαι, ὅσον ἐφικνέεται αἰεί ποτε πάντα
bandaging to-be-extended as-much-as reaches always ever all
τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα· ὅ τι γὰρ ἂν
the fractures if but not as quickly-as-possible what — for —
μὴ κατὰ τρόπον ηὐθετισμένων τῶν ὀστέων ἐπιδέων
not according-to manner set-in-place the bones bandaging
τις πιέζῃ, ὀδυναίτερον τὸ χωρίον γίνεται. Ἡ δὲ ἄλλη
anyone press more-painful the region becomes The and other
ἰητρείη ἡ αὐτή.
treatment the same

18 Τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεομένου
Of-the and bones the indeed inner of-the shin so-called
ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶ, καὶ κατατάσιος μᾶλλον
more-troublesome in the treatment is and of-extension more
δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον
needing and if not correctly the bones be-set impossible
κρύψαι, φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστιν· καὶ ἐπιβαίνειν
to-conceal visible for and fleshless all it-is and to-step

ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναιντ᾽ ἂν, τουτέου
on the leg much more-slowly they-could — this
κατεηγότος. Ἢν δὲ τὸ ἔξω ὀστέον κατεηγῇ, πουλὺ μὲν
broken If but the outer bone be-broken much indeed
εὐφορώτερον φέρουσι, πουλὺ δ᾽ εὐκρυπτότερον, καὶ ἢν μὴ
more-easily they-bear much and more-easily-concealed even if not
καλῶς ξυντεθῇ, ἐπίσαρκον γάρ ἐστιν· ἐπὶ πόδας τε ταχέως
well it-be-set fleshy for it-is on feet both quickly
ἵστανται, τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ
they-stand the most for of-the weight carries the inner of-the
ἀντικνημίου ὀστέον. Ἅμα μὲν γὰρ αὐτῷ τῷ σκέλει καὶ
shin bone At-once indeed for with-the-very the leg and
τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ κατὰ τὸ σκέλος, τὸ πλεῖον
with-the straight-line of-the weight of-the along the leg the more
ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον· τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ
has of-the toil the inner bone of-the for thigh the head
ὑπεροχέει τὸ ὕπερθεν τοῦ σώματος, αὕτη δὲ εἴσωθεν
carries-above the upper-part of-the body this and on-the-inside
πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ
is-formed of-the leg and not on-the-outside but along the of-the
ἀντικνημίου ἴξιν· ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος
shin line at-once and the other half of-the body
γειτονεύεται μᾶλλον ταύτῃ τῇ ἴξει, ἀλλ᾽ οὐχὶ τῇ ἔξωθεν·
is-neighbor more to-this the line but not to-the outer
ἅμα δὲ, ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν, ὥσπερ τὸ ἐν
at-once and because thicker the inner than-the outer just-as the in
τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον
the forearm the along the of-the small finger line thinner
καὶ μακρότερον. Ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη
and longer In however the joint the lower not alike
ἡ ὑπότασις τοῦ ὀστέου τοῦ μακροτέρου· ἀνομοίως γὰρ ὁ
the support of-the bone of-the longer dissimilarly for the

ἀγκὼν καὶ ἡ ἰγνύη κάμπτεται. Διὰ οὖν ταύτας τὰς
elbow and the knee-hollow are-bent Because-of then these the
προφάσιας, τοῦ μὲν ἔξωθεν ὀστέου κατεηγότος, ταχεῖαι αἱ
reasons of-the indeed outer bone broken quick the
ἐπιβάσιες, τοῦ δὲ ἔσωθεν κατεηγότος, βραδεῖαι αἱ ἐπιβάσιες.
steppings of-the but inner broken slow the steppings
19 Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν
If but the of-the thigh bone be-broken the extension
χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ ἐνδεεστέρως σχήσει·
one-must to-make above all that not more-deficiently it-will-be
πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. Οὐδὲ γὰρ, εἰ
overdone indeed for nothing — would-harm Even for if
διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος
separated the bones by the force of-the extension
ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε
should-bandage someone not — would-be-able to-prevail the bandaging so-that
διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα,
to-be-separated but would-come-together — toward one-another the bones
ὡς τάχιστα ἂν ἀφείησαν οἱ τείνοντες· παχεῖαι γὰρ καὶ
as soon-as — let-go the stretching thick for and
ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τῆς ἐπιδέσιος, ἀλλ᾽
strong the flesh being will-prevail-over the bandaging but
οὐ κρατηθήσονται. Περὶ οὗ οὖν ὁ λόγος, διατείνειν εὖ
not will-be-prevailed-over About which then the account to-stretch well
μάλα καὶ ἀδιαστρέπτως χρὴ, μηδὲν ἐπιλείποντα· μεγάλη
very and without-distortion one-must nothing falling-short great
γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι.
for the shame and harm shorter the thigh to-show
Χεὶρ μὲν γὰρ, βραχυτέρη γενομένη, καὶ ξυγκρυφθείη
Arm indeed for shorter having-become both would-be-concealed
ἂν, καὶ οὐ μέγα τὸ σφάλμα· σκέλος δὲ βραχύτερον
— and not great the fault leg but shorter

γενόμενον, χωλὸν ἀποδείξειε τὸν ἄνθρωπον· τὸ γὰρ ὑγιὲς
become lame would-show the man the for sound
ἐλέγχει παρατιθέμενον, μακρότερον ἐὸν, ὥστε λυσιτελέει
convicts placed-beside longer being so-that it-profits
τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι, ἀμφότερα καταγῆναι
the-one about badly to-be-treated both to-be-broken
τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον· ἰσόῤῥοπος γοῦν ἂν
the legs rather than the one evenly-balanced at-least —
εἴη αὐτὸς ἑωυτῷ. Ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς,
would-be he with-himself Whenever however sufficiently you-extend
κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν
having-set-straight one-must with-the palms of-the hands to-bandage
τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ
the same way just-as also before has-been-written and
τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς
the beginnings placing as has-been-said and proceeding to
τὸ ἄνω τῇ ἐπιδέσει. Καὶ ὑποκρινέσθω ταὐτὰ ὥσπερ
the upper-part with-the bandaging And let-him-reply the-same just-as
καὶ πρόσθεν, καὶ πονεέτω κατὰ ταὐτὰ καὶ ῥηϊζέτω,
also before and let-him-suffer at the-same and let-him-be-relieved
καὶ μετεπιδείσθω ὡσαύτως· καὶ ναρθήκων πρόσθεσις ἡ
and let-him-be-rebandaged likewise and of-splints application the
αὐτή. Κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσιν.
same Is-made-firm and the thigh in fifty days
Προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι ὁ μηρὸς γαῦσός 20
To-understand-besides and one-must also this that the thigh curved
ἐστιν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω, καὶ ἐς τὸ
is toward the outer part rather-than toward the inner and toward the
ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν· ἐς ταῦτα τοίνυν τὰ
front rather than toward the-back to these then the
μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται· καὶ
parts also it-is-twisted whenever not well it-be-treated and

δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν, ὥστε
indeed also at these less-fleshy it than-itself is so-that
οὐδὲ ξυγκρύπτειν δύνανται ἐν τῇ διαστροφῇ. Ἢν οὖν τι
not-even to-conceal they-can in the twisting If then something
τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷά περ ἐν
such you-suspect to-contrive one-must such-as indeed in
τῷ βραχίονι τῷ διεστραμμένῳ παρήνηται. Προσπεριβάλλειν
the upper-arm the twisted has-been-advised To-put-round-besides
δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον καὶ
and one-must a-few of-the linen-strips in-a-circle around the hip and
τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ
the loins so-that — the groins both and the joint the at
τὴν πλιχάδα καλεομένην προσεπιδέηται· καὶ γὰρ ἄλλως
the fork so-called be-bandaged-besides both for in-other-respects
ξυμφέρει, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται
it-is-of-advantage and so-that not the ends of-the splints harm
πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. Ἀπολείπειν δὲ χρὴ
against the unbandaged-parts striking To-leave and one-must
ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν,
from the bare always the splints both on-this-side and on-that
ἱκανῶς· καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθέεσθαι
sufficiently and the placing always of-the splints to-provide-for
χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον, τῶν ἐξεχόντων παρὰ
one-must that neither at the bone of-the projecting at
τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ νεῦρον ἔσται.
the joints by-nature formed nor at the sinew will-be

21 Τὰ δὲ οἰδήματα τὰ κατ' ἰγνύην, ἢ κατὰ πόδα, ἢ
The and swellings the at knee-hollow or at foot or
κατά τι ἄλλο ἐξαειρεύμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι
at some other rising-up from the pressure with-wools
πουλλοῖσι, ῥυπαροῖσιν, εὖ κατεργασμένοισιν, οἴνῳ καὶ
much greasy well worked with-wine and

ἐλαίῳ ῥήνας, κηρωτῇ ὑποχρίων, καταδεῖν, καὶ ἢν
oil having-sprinkled with-cerate anointing-under to-bind and if
πιέζωσιν οἱ νάρθηκες, χαλᾷν. Θᾶσσον ἰσχναίνοις δ' ἄν,
press the splints to-loosen Quicker you-would-make-lean and —
εἰ, ἀφιεὶς τοὺς νάρθηκας, ὀθονίοισι συχνοῖσιν ἐπιδέοις
if letting-go the splints with-linen-strips many you-should-bandage
τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ
the swellings beginning from the lowest to the
ἄνω νεμόμενος· οὕτω γὰρ ἄν τάχιστα ἰσχνὸν τὸ οἴδημα
upper proceeding so for — quickest thin the swelling
γένοιτο, καὶ ὑπερθοίη ἂν ὑπὸ τὰ ἀρχαῖα ἐπιδέσματα.
would-become and would-pass-over — under the original bandages
Ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν
But not one-must this the way to-use of-the bandaging if
μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ·
not danger be in the swelling of-blistering or of-blackening
γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ
becomes but nothing such if not too anyone press the
κάτηγμα, ἢ κατακρεμάμενον ἔχῃ, ἢ κνῆται τῇ χειρὶ,
fracture or hanging-down hold or scratch with-the hand
ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.
or other something fall-against irritating toward the skin
Σωλῆνα δὲ εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη μὴ 22
Gutter and if indeed someone under the-very the thigh should-put-under not
ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι·
reaching-past the knee-hollow would-harm — more than would-benefit
οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην, ἄνευ
neither for — the body would-prevent nor the leg without
τοῦ μηροῦ κινέεσθαι. Ἀσηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην
the thigh to-be-moved Distressing for it-would-be against the knee-hollow
προσβαλλόμενον· καὶ ὃ ἥκιστα δεῖ, τοῦτ' ἂν ἐποτρύνοι
striking and what least is-needful this — it-would-urge

ποιέειν· ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν· πᾶσαν
to-do least for is-needful at the knee to-bend all
γὰρ ἂν τύρβην παρέχοι τῇσιν ἐπιδέσεσιν· καὶ μηροῦ
for — disturbance it-would-provide to-the bandagings and thigh
ἐπιδεδεμένου καὶ κνήμης, ὅστις κατὰ τὸ γόνυ κάμπτοι,
bandaged and leg whoever at the knee should-bend
ἀνάγκη ἂν εἴη τούτῳ τοὺς μύας ἄλλοτε ἄλλο σχῆμα
necessity — would-be for-this-one the muscles at-one-time another posture
ἴσχειν· ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα
to-have necessity and — would-be also the bones the broken
κίνησιν ἔχειν. Περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην
movement to-have Above all then must-be-made the knee-hollow
ἐντετάσθαι. Δοκέοι ἂν οὖν μοι ὁ σωλὴν, ὁ περιέχων πρὸς
to-be-stretched Would-seem — then to-me the gutter the extending toward
τὸν πόδα ἀπὸ τοῦ ἰσχίου, ὠφελέειν ὑποτιθέμενος· καὶ ἄλλως
the foot from the hip to-benefit being-put-under and otherwise
κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι,
at knee-hollow band loosely to-put-round with the gutter
ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται· εἶτα ἐπὴν
just-as the children in the beds are-swaddled then whenever
ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον,
the thigh toward the upper-part be-twisted or toward the side
εὐκατασχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. Ἢ
more-easily-held-down would-be — with the gutter so Whether
οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος.
then throughout would-be to-be-made the gutter or not to-be-made
23 Πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι, ὡς εὐθέτως
Of-heel and end very one-must to-take-care that well-placed
ἔχοι, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν
it-be both in the in leg and in the in thigh
κατήγμασιν. Ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ ποὺς, τῆς
fractures If indeed for hang-free the foot of-the

ἄλλης κνήμης ἡρματισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον
other leg propped-up necessity at the shin
τὰ ὀστέα κυρτὰ φαίνεσθαι· ἢν δὲ ἡ μὲν πτέρνη
the bones convex to-appear if but the indeed heel
ὑψηλοτέρη ᾖ τοῦ μετρίου ἡρματισμένη, ἡ δὲ ἄλλη
higher be than-the moderate propped-up the but other
κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τὸ ὀστέον τοῦτο κατὰ τὸ
leg somewhat-raised be necessity the bone this at the
ἀντικνήμιον κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ
shin more-hollow to-appear than-the moderate besides also
ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη.
if the heel happen being of-the man by-nature large
Ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν
But also are-made-firm all the bones more-slowly if
μὴ κατὰ φύσιν κείμενα ᾖ, καὶ τὰ μὴ ἀτρεμέοντα
not according-to nature lying they-be and the-ones not keeping-still
ἐν τῷ αὐτέῳ σχήματι, καὶ αἱ πωρώσιες ἀσθενέστεραι.
in the same posture and the calluses weaker

For a fracture with a wound but no bone out, or one reduced at once, some dress the wound and bandage later, leaving the bone bulky; others bind either side and leave the wound bare, so it swells. The author sets it as a simple fracture: pitch cerate on the wound, softer, broader, and more rollers begun at the wound, less pressure, splints later and off the wound. The region stays lean, the wound heals faster, and the regimen is stricter.

24 Ταῦτα μὲν δὴ, ὅσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει
These-things indeed indeed for-as-many-as the indeed bones are-broken projects
δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγένετο. Οἷσι δὲ τὰ ὀστέα
but not nor otherwise wound arose For-whom and the bones
κατέηγεν ἁπλῷ τῷ τρόπῳ, καὶ μὴ πουλυσχιδεῖ, ἐξέσχε
are-broken in-simple the way and not much-split projected
δὲ, αὐθήμερα ἐμβληθέντα, ἢ τῇ ὑστεραίῃ, καὶ κατὰ
and the-same-day reduced or on-the next-day and in
χώρην ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχίδων
place settling and not expected the separation of-splinters
ὀστέων ἀπιέναι, ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ
of-bones to-come-away or also for-whom wound indeed arose the
δὲ ὀστέα τὰ κατεηγότα οὐκ ἐξίσχει, οὐδ' ὁ τρόπος τῆς
but bones the broken not stick-out nor the manner of-the
κατήξιος τοιοῦτος, οἷος παρασχίδας ὀστέων εἶναι ἐπιδόξους
fracture such as splinters of-bones to-be expected
ἀναπλῶσαι, τοὺς τοιούτους οἱ μὲν μήτε μέγα ἀγαθὸν, μήτε
to-come-up the such some indeed neither great good nor
μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ
great harm doing treat the indeed wounds with-cleansing
τινι, ἢ πισσηρὴν ἐπιθέντες, ἢ ἔναιμον, ἢ ἄλλο τι ὧν
some or pitch-plaster having-applied or blood-dressing or other something of-which
εἰώθασι ποιέειν· ἐπάνω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ
they-are-accustomed to-make on-top and the wine compresses or

εἴρια ῥυπαρὰ ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. Ἐπὴν
wools greasy they-bind-on or other something such Whenever
δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε
and the wounds clean become and already grow-together then
τοῖσιν ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδεῖν, καὶ νάρθηξι
with-the linen-strips many they-try to-bandage and with-splints
κατορθοῦν. Αὕτη μὲν ἡ ἴησις ἀγαθόν τι ποιέει, κακὸν
to-set-straight This indeed the cure good something does harm
δὲ οὐ μέγα. Τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι
but not great The however bones not equally can to-be-settled
ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι ὀγκηρότερα τὰ ὀστέα
into the their-own place but somewhat bulkier the bones
τοῦ καιροῦ ταύτῃ γίνεται· γένοιτο δ' ἂν καὶ βραχύτερα,
than-the right here become would-become and — also shorter
ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν ἢ πήχεος, ἢ κνήμης.
of-which both the bones are-broken either of-forearm or of-leg
Ἄλλοι δ' αὖ τινές εἰσιν, οἳ ὀθονίοισι τὰ τοιαῦτα 25
Others but again some are who with-linen-strips the such
ἰητρεύουσιν εὐθέως, καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσι
treat at-once and on-this-side indeed and on-that they-bandage
τοῖσιν ὀθονίοισι, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι, καὶ
with-the linen-strips at but the wound itself they-leave-gap and
ἐῶσιν ἀνεψύχθαι· ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν
let to-be-cooled then they-apply on the wound of-the
καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ εἰρίοισι
cleansing-things something and with-compresses wine or with-wools
ῥυπαροῖσι θεραπεύουσιν. Αὕτη ἡ ἴησις κακὴ, καὶ εἰκὸς τοὺς
greasy treat This the cure bad and likely those
οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν
so treating the greatest-things to-be-ignorant both in the
ἄλλοισι κατήγμασι, καὶ ἐν τοῖσι τοιούτοισιν. Μέγιστον γάρ
other fractures and in the such Greatest for

ἐστι τὸ γινώσκειν, καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν
it-is the to-know in what way one-must the beginning
βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι,
to-place of-the linen-strip and in what most to-have-been-pressed
καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν
and what — are-benefited if correctly someone place the beginning
καὶ πιέζῃ ᾗ μάλιστα χρὴ, καὶ οἷα βλάπτονται, ἢν
and press where most one-must and what are-harmed if
μὴ ὀρθῶς τις βάλληται, μηδὲ πιέζῃ ᾗ μάλιστα χρὴ,
not correctly someone place nor press where most one-must
ἀλλὰ ἔνθεν καὶ ἔνθεν. Εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι
but on-this-side and on-that It-has-been-said indeed then also in the
πρόσθεν γεγραμμένοισιν, ὁποῖα ἀφ' ἑκατέρου ἀποβαίνει·
before written-things what-things from each result
μαρτυρέει δὲ καὶ αὐτὴ ἡ ἰητρική· ἀνάγκη γὰρ τῷ
bears-witness and also itself the medicine necessity for for-the
οὕτως ἐπιδεομένῳ τὸ οἶδος ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος.
so bandaged the swelling to-rise-up into the-very the wound
Καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν
And for if healthy skin on-this-side and on-that should-be-bandaged in
μέσῳ δὲ διαλειφθείη, μάλιστα κατὰ τὴν διάλειψιν οἰδήσειεν
middle but should-be-left-gap most at the gap it-would-swell
ἄν, καὶ ἀχροιήσειεν· πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν
— and would-lose-color how then not wound at-least these-things —
πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπλιγμένον
would-suffer necessarily then it-is colorless indeed and swollen-out
τὸ ἕλκος εἶναι, δακρυῶδές τε καὶ ἀνεκπύητον, ὀστέα δὲ, καὶ
the wound to-be weeping both and not-suppurating bones and even
μὴ μέλλοντα ἀποστῆναι, ἀποστατικὰ γενέσθαι· σφυγμῶδές
not about to-come-away exfoliating to-become throbbing
τε καὶ πυρῶδες τὸ ἕλκος ἂν εἴη. Ἀναγκάζονται δὲ διὰ
both and fiery the wound — would-be They-are-compelled and because-of

τὸ οἶδος ἐπικαταπλάσσειν· ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν
the swelling to-plaster-on unprofitable and also this for-the
ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν· ἄχθος γὰρ ἀνωφελὲς πρὸς
on-this-side and on-that bandaged weight for useless besides
τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. Τελευτῶντες δὲ ἀπολύουσι
the other throbbing is-added Ending and they-undo
τὰ ἐπιδέσματα, ὁπόταν σφιν παλιγκοτέῃ, καὶ ἰητρεύουσι
the bandages whenever for-them it-relapses and treat
τὸ λοιπὸν ἄνευ ἐπιδέσιος· οὐδὲν δ' ἧσσον, καὶ ἤν τι ἄλλο
the rest without bandaging nothing but less also if any other
τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν· οὐ
wound such they-get in-the same way treat not
γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν
for they-think the bandaging the on-this-side and on-that and the
ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην εἶναι, ἀλλ' ἄλλην τινὰ ἀτυχίην.
cooling of-the wound cause to-be but other some misfortune
Οὐ μέντοι γε ἂν ἔγραφον περὶ τουτέου τοσαῦτα, εἰ μὴ
Not however at-least — I-would-write about this so-much if not
εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ
well indeed I-knew unprofitable being the bandaging many but
οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα, μαρτύριον
so treating important and the unlearning evidence
δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε
and of-the correctly to-have-been-written the before written-things whether
μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα.
most to-be-pressed the fractures or least
Χρὴ δὲ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ 26
One-must and as in summary to-be-said for-whom — not
ἐπίδοξος ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν
expected be the of-the bones separation to-be the same
ἰητρείην ἰητρεύειν, ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα
treatment to-treat just-as — for-whom bones indeed broken

εἴη, ἕλκος δὲ μὴ ἔχοντα· τάς τε γὰρ κατατάσιας καὶ
may-be wound but not having the both for extensions and
κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι,
settings-straight of-the bones the same way to-make
τήν τε ἐπίδεσιν παραπλήσιον τρόπον. Ἐπὶ μὲν γὰρ αὐτὸ
the both bandaging similar way On indeed for the-very
τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν
the wound pitch cerate having-smeared a-compress thin
διπλόον ἐπιδεθῆναι, τὰ δὲ πέριξ κηρωτῇ λευκῇ χρίειν. Τὰ
double to-be-bandaged the and around with-cerate white to-smear The
δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερά τινι ἐσχισμένα
and linen-strips and the other-things broader by-somewhat cut
ἔστω, ἢ εἰ μὴ ἕλκος εἶχεν· καὶ ᾧ ἂν πρώτῳ
let-be than if not wound it-had and with-which — first
ἐπιδέηται, συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον. Τὰ γὰρ
it-be-bandaged by-much let-it-be than-the wound broader The for
στενότερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος· τὸ δὲ
narrower than-the wound girdling hold the wound this but
οὐ χρή· ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ
not one-must but the first turn whole let-it-hold the
ἕλκος, καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν.
wound and let-project the linen-strip on-this-side both and on-that
Βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν
To-be-placed indeed then one-must the linen-strip at the-very the line
τοῦ ἕλκεος, πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχεν,
of-the wound to-press and a-little less than if not wound it-had
ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται.
to-proceed and with-the bandaging just-as also before has-been-said
Τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ
The and linen-strips always indeed of-the kind of-the soft
ἔστωσαν, μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιούτοισιν, ἢ
let-them-be more and somewhat is-needful in the such than

εἰ μὴ ἕλκος εἶχεν. Πλῆθος δὲ τῶν ὀθονίων, μὴ ἐλάσσω
if not wound it-had Number and of-the linen-strips not less
ἔστω τῶν πρότερον εἰρημένων, ἀλλά τινι καὶ πλείω.
let-be than-the before said but somewhat even more
Ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν,
If and it-be-bandaged let-it-seem to-the bandaged-man to-fit indeed
πεπιέχθαι δὲ μή· φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα
to-have-been-pressed but not let-him-say and at the wound most
ἡρμόσθαι. Τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ
to-fit The and times the same indeed one-must to-be for
τὸ μᾶλλον δοκέειν ἡρμόσθαι, τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον
the more to-seem to-fit the same and for the more
δοκέειν χαλᾷν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται.
to-seem to-loosen just-as also in the before it-has-been-said
Μετεπιδεῖν δὲ διὰ τρίτης, πάντα μεταποιέοντα ἐς τοὺς
To-rebandage and every third-day all altering to the
τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται,
ways the similar just-as also before has-been-said
πλὴν ἐς τὸ σύμπαν ἧσσόν τινι πιέζειν ταῦτα ἢ ἐκεῖνα.
except on the whole less somewhat to-press these than those
Καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον
And if according-to reason the expected-things happen leaner
μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος, ἰσχνὸν δὲ καὶ
indeed always will-be-found the at the wound lean and also
τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον· καὶ αἵ
the other all the by the bandaging held and the
τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλως ἰητρευμένων
both suppurations will-be quicker than of-the otherwise treated
ἑλκέων, ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη καὶ
wounds as-many-as both bits-of-flesh in the wound were-blackened and
ἐθανατώθη, θᾶσσον περιῤῥήγνυται καὶ ἐκπίπτει ἐπὶ ταύτῃ
died quicker break-away-around and fall-off under this

τῇ ἰητρείῃ, ἢ ἐν τῇσιν ἄλλῃσιν, ἐς ὠτειλάς τε θᾶσσον
the treatment than in the other to scars both quicker
ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευμένον.
proceeds the wound so than otherwise treated
Πάντων δὲ τούτων αἴτιον, ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ
Of-all and these cause that lean indeed the at the
ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. Τὰ μὲν
wound region becomes lean and the surrounding-parts The indeed
οὖν ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὡς τὰ
then other-things all similarly one-must to-treat as the
ἄνευ ἑλκώσιος ὀστέα κατηγνύμενα. Τοὺς δὲ νάρθηκας οὐ
without wound bones broken The and splints not
χρὴ προστιθέναι. Διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ
one-must to-apply Because-of this also the linen-strips one-must
τούτοισι πλείω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτι τε ἧσσον
for-these more to-be than for-the others because both less
πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτεροι προστίθενται.
it-is-pressed because both the splints later are-applied
Ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἶξιν τοῦ
If however the splints you-apply not along the line of-the
ἕλκεος προστιθέναι, ἄλλως τε καὶ χαλαρῶς προστιθέναι,
wound to-apply otherwise both and loosely to-apply
προμηθεύμενος ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ
taking-care that no binding great will-be from
τῶν ναρθήκων. Εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον
the splints It-has-been-said and this also in the before
γεγραμμένοισιν. Τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω
written-things The however regimen more-exact and longer
χρόνον χρὴ ποιέεσθαι οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται,
time one-must to-make for-whom from the-beginning wounds arise
καὶ οἷσιν ὀστέα ἐξίσχει· καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι,
and for-whom bones stick-out and the whole and to-be-said

ἐπὶ τοῖσι ἰσχυροτάτοισι τρώμασιν ἀκριβεστέρην καὶ
in-the-case-of the most-severe wounds more-exact and
πουλυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.
longer to-be one-must the regimen

VIII · SPLINTS, RODS, AND BALLS

A wound forming under the bandage, known by throbbing and hard swelling below, is treated as a fresh one, bandaged from the swelling upward, without splints. When splinters come up he bandages looser and oftener, laying double compresses soaked in dark wine. Where bandaging cannot cure, tying the foot to the bed harms; two balls, above the ankle and below the knee, held apart by cornel rods, extend the leg and leave the wound open. A badly made one harms more than it helps.

Ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν 27
The same and treatment of-the wounds also for-whom bones indeed
κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦν, ἐν δὲ τῇ
are-broken wound but from the-beginning none was in and the
ἰητρείῃ ἐπιγίνεται, ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος
treatment supervenes either by-the linen-strips more pressed
νάρθηκος ὑπὸ ἐνέδρης, ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος.
of-a-splint by lodgment or by other some cause
Γινώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ, τῇ
Is-known indeed then the such if wound be-underneath by-the
τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν· καὶ τὸ οἴδημα τὸ ἐν
both pain and by-the throbbings and the swelling the in
τοῖσιν ἄκροισι, σκληρότερον γίνεται τῶν τοιουτέων, καὶ
the extremities harder becomes of-the such and
εἰ τὸν δάκτυλον ἐπαγάγοις, τὸ ἔρευθος ἐξαιρέεται, ἀτὰρ
if the finger you-should-press-on the redness is-removed but
καὶ αὖθις ὑποτρέχει ταχέως. Ἢν οὖν τι τοιοῦτον
also again runs-back quickly If then something such

ὑποπτεύῃς, λύσαντα χρὴ, ἢν μὲν ᾖ κνησμὸς κατὰ
you-suspect having-undone one-must if indeed there-be itching at
τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ
the under-bandages or at the other the bandaged-part with-pitch
κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. Ἢν δὲ τούτων μὲν
cerate instead-of the other to-use If but of-these indeed
μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκηται, μέλαν ἐπὶ
nothing be itself but the wound irritated be-found black over
πουλὺ ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων,
much or unclean and of-the indeed flesh going-to-suppurate
τῶν δὲ νεύρων προσεκπεσουμένων, τουτέους οὐδὲν χρὴ
the and sinews going-to-fall-off these nothing one-must
βραχύτερον δὲ τοῦ ἑτέρου γίνεται καὶ οἱ καλεόμενοι δὲ
shorter but than-the other it-becomes and the so-called and
ἐκ γενεῆς γαλιάγκωνες· διὰ δισσὰς ξυμφορὰς ταύτας
from birth weasel-armed because-of two misfortunes these

γίνονται, ἤν τέ τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ
become if both something such them dislocation overtake
ἐν τῇ γαστρὶ ἐόντας, διά τε ἄλλην ξυμφορὴν, περὶ ἧς
in the womb being because-of and other misfortune about which
ὕστερόν ποτε γεγράψεται· ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν
later sometime will-be-written but also in-whom still infants
ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ
being at the head of-the upper-arm deep and
ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες
submerged suppurations arise and these all weasel-armed
γίνονται· καὶ ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε
become and if both they-be-cut if both they-be-cauterized if both
αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ, ὅτι ταῦτα οὕτως
spontaneously for-them it-break-open well to-know one-must that these-things so
ἔχει. Χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν οἱ ἐκ
are To-use however the arm ablest are the from
γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι
birth weasel-armed not however not-even those at-least to-raise
παρὰ τὸ οὖς τὸν βραχίονα, ἐκτανύσαντες τὸν ἀγκῶνα,
beside the ear the upper-arm stretching-out the elbow
δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως, ἢ τὴν ὑγιέα χεῖρα.
can but much more-deficiently than the sound arm
Οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ
In-whom but — already men being be-dislocated the shoulder and not
ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκοτέρη γίνεται, καὶ ἡ ἕξις λεπτὴ
be-reduced the shoulder-top more-fleshless becomes and the condition thin
ἡ κατὰ τοῦτο τὸ μέρος· ὅταν μέντοι ὀδυνώμενοι παύσωνται,
the at this the part when however being-in-pain they-cease
ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ
as-many-as indeed must to-do raising the elbow from
τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται
the ribs to the side these-things indeed not they-can

ἅπαντα ὁμοίως ἐργάζεσθαι· ὁκόσα δὲ δεῖ ἐργάζεσθαι,
all equally to-do as-many-as but must to-do
παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευράς, ἢ ἐς
moving-along the upper-arm beside the ribs either to
τοὐπίσω, ἢ ἐς τοὔμπροσθεν, ταῦτα δὲ δύνανται ἐργάζεσθαι·
the-back or to the-front these-things and they-can to-do
καὶ γὰρ ἂν ἀρίδα ἑλκύσαιεν, καὶ πρίονα, καὶ πελεκήσαιεν ἄν,
and for — a-drill they-could-pull and a-saw and could-wield-an-axe —
καὶ σκάψαιεν ἄν, μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ
and could-dig — not very upward raising the elbow and
τἄλλα ὅσα ἐκ τῶν τοιούτων σχημάτων ἐργάζονται.
the-other-things as-many-as from the such postures they-do
Ὅσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι 13
For-as-many-as and — the acromion be-torn-off in-these
φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀπεσπασμένον· ἔστι δὲ τοῦτο
appears projecting the bone the torn-off is and this
ὁ ξύνδεσμος τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης· ἑτεροίη γὰρ
the binding of-the collarbone and of-the shoulder-blade different for
ἡ φύσις ἀνθρώπου ταύτῃ, ἢ τῶν ἄλλων ζώων. Οἱ οὖν
the nature of-man here than of-the other animals The then
ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι (ἅτε
physicians most are-deceived in this the injury since
γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς
for having-risen the bone the torn-off the shoulder-top
φαίνεται χαμαιζήλη καὶ κοίλη), ὥστε καὶ προμηθέεσθαι
appears low and hollow so-that also to-take-precautions-for
τῶν ὤμων τῶν ἐκπεπτωκότων· πολλοὺς οὖν οἶδα
the shoulders the dislocated many then I-know
ἰητροὺς, τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη
physicians in-other-things not poor being who many-things already
ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους,
did-harm to-reduce trying the such shoulders

οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται,
so thinking to-have-been-dislocated and not before they-cease
πρὶν ἢ ἀπογνῶναι, ἢ ἀπορῆσαι, δοκέοντες αὐτοὶ σφέας
before than to-despair or to-be-at-a-loss seeming they them
αὐτοὺς ἐμβάλλειν τὸν ὦμον. Τούτοισιν ἰητρείη μὲν, ἥπερ
themselves to-reduce the shoulder For-these treatment indeed the-very-same
καὶ τοῖσιν ἄλλοισιν τοῖσι τοιούτοισι, κηρωτὴ καὶ σπλῆνες
also for-the other the such cerate and compresses
καὶ ὀθόνια, καὶ ἐπίδεσις τοιαύτη. Καταναγκάζειν μέντοι
and linen-strips and bandaging such To-force however
τὸ ὑπερέχον χρὴ, καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι
the projecting-part one-must and the compresses at this to-put
πλείστους, καὶ πιέζειν ταύτῃ μάλιστα, καὶ τὸν βραχίονα
most and to-press here most and the upper-arm
πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος
against the ribs attached to the upper part
ἔχειν· οὕτω γὰρ ἂν μάλιστα πλησιάζοι τὸ ἀπεσπασμένον.
to-hold so for — most would-approach the torn-off-part
Τάδε μὴν εὖ εἰδέναι χρὴ, καὶ προλέγειν ὡς ἀσφαλέα,
These however well to-know one-must and to-foretell as safe
εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμίη, οὔτε σμικρὴ,
if otherwise you-should-wish that harm indeed none neither small
οὔτε μεγάλη, τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος,
nor great to-the shoulder arises from this the injury
αἴσχιον δὲ τὸ χωρίον· οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν
uglier but the region not-even for this the bone into the
ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ ἐπεφύκεεν, ἀλλ᾽
original seat equally — would-be-settled as it-was-formed but
ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω.
necessity more or less bulkier to-be to the upper-part
Οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς τωὐτὸ καθίσταται, ὅ
Not-even for other bone none into the-same is-set which

τι ἂν κοινωνέον ἔῃ ἑτέρῳ ὀστέῳ, καὶ προσπεφυκὸς
— — *sharing be with-another bone and grown-to*
ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. Ἀνώδυνον δὲ τὸ
be-torn-off from the original nature Painless and the
ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσι γίνεται, ἢν χρηστῶς ἐπιδέηται.
acromion in few days becomes if properly it-be-bandaged
Κληῖς δὲ κατεαγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, 14
Collarbone and broken if indeed exactly it-be-snapped-off
εὐιητοτέρη ἐστίν· ἢν δὲ παραμηκέως, δυσιητοτέρη.
easier-to-cure it-is if but lengthwise harder-to-cure
Τἀναντία δὲ τούτοισίν ἐστιν, ἢ ὡς ἄν τις οἴοιτο·
The-opposite and to-these it-is than as — anyone would-think
τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν
the indeed for exactly snapped-off would-force
ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν· καὶ γὰρ εἰ
— *anyone more into the nature to-go and for if*
πάνυ προμηθηθείη, τὸ ἀνωτέρω κατωτέρω ἂν ποιήσειε,
very he-should-take-care the upper lower — he-would-make
σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ· εἰ δὲ
with-postures both suitable and with-bandaging fitting if but
μὴ τελέως ἱδρυνθείη, ἀλλ᾽ οὖν τὸ ὑπερέχον γε τοῦ
not completely it-should-be-settled but nevertheless the projecting-part at-least of-the
ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. Ὧν δὲ ἂν παράμηκες τὸ
bone not very sharp becomes Of-whom but — lengthwise the
ὀστέον κατεαγῇ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισι
bone be-broken like the misfortune becomes to-the bones
τοῖσιν ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται· οὔτε
the torn-off about which before has-been-written neither
γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε
for to-be-settled it against itself very is-willing the both
ὑπερέχουσα ὄκρις τοῦ ὀστέου ὀξείη γίνεται κάρτα. Τὸ μὲν
projecting edge of-the bone sharp becomes very The indeed

οὖν ξύμπαν, εἰδέναι χρὴ, ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ,
then whole to-know one-must that harm none to-the shoulder
οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς
nor to-the other body arises because-of the fracture of-the
κληῖδος, ἢν μὴ ἐπισφακελίσῃ· ὀλιγάκις δὲ τοῦτο γίνεται.
collarbone if not it-mortify seldom and this happens
Αἶσχός γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς
Ugliness at-least however is-added about the fracture of-the
κληῖδος, καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον, ἔπειτα μὴν
collarbone and in-these at first ugliest then however
ἐπὶ ἧσσον γίνεται. Ξυμφύεται δὲ ταχέως κληῖς, καὶ τἄλλα
to less it-becomes Grows-together and quickly collarbone and the-other
πάντα ὅσα χαῦνα ὀστέα· ταχείην γὰρ τὴν ἐπιπώρωσιν
all as-many-as spongy bones quick for the callus-formation
ποιέεται τὰ τοιαῦτα. Ὅταν μὲν οὖν νεωστὶ κατεαγῇ, οἱ
make the such When indeed then recently it-be-broken the
τετρωμένοι σπουδάζουσιν, οἰόμενοι μέζον τὸ κακὸν εἶναι,
wounded are-eager thinking greater the harm to-be
ἢ ὅσον ἐστίν· οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς
than as-much-as it-is the both physicians are-zealous forsooth correctly
ἰῆσθαι· προϊόντος δὲ τοῦ χρόνου, οἱ τετρωμένοι, ἅτε οὐκ
to-treat going-on but of-the time the wounded since not
ὀδυνώμενοι, οὐδὲ κωλυόμενοι οὔτε ὁδοιπορίης, οὔτε ἐδωδῆς,
in-pain nor hindered neither from-walking nor from-eating
καταμελέουσιν· οἵ τε αὖ ἰητροὶ, ἅτε οὐ δυνάμενοι καλὰ
neglect the both again physicians since not being-able fine
τὰ χωρία ἀποδεικνύναι, ἀποδιδράσκουσι, καὶ οὐκ ἄχθονται
the regions to-show run-away and not are-vexed
τῇ ἀμελείῃ τῶν τετρωμένων· ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις
at-the neglect of-the wounded in this and the callus-formation
ξυνταχύνεται. Ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε
is-hastened Of-bandaging indeed then way has-been-established

παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ
similar to-the most with-cerate and compresses and
ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν· καὶ τάδε δεῖ προσξυνιέναι
linen-strips soft to-treat and these-things must to-understand-besides
καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι, ὅτι τούς τε σπλῆνας
and most in this the operation that the both compresses
πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι, καὶ τοῖσιν
most at the projecting-part one-must to-put and with-the
ἐπιδέσμοισι πλείστοισι καὶ μάλιστα κατὰ τοῦτο πιέζειν.
bandages most and most at this to-press
Εἰσὶ δὲ δή τινες, οἳ ἐπεσοφίσαντο ἤδη μολύβδιον
There-are and indeed some who have-contrived already a-lead
βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερέχον·
heavy to-bind-on-besides so-as to-force-down the projecting-part
ξυνιᾶσι μὲν οὖν ἴσως οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες· ἀτὰρ
understand indeed then perhaps not-even those simply bandaging but
δὴ οὐδ' οὕτος ὁ τρόπος κληῖδος κατήξιός ἐστιν· οὐ
indeed not-even this the way of-collarbone fracture is not
γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδὲν, ὅ
for possible the projecting-part to-be-forced nothing which
τι καὶ ἄξιον λόγου. Ἄλλοι δ' αὖ τινές εἰσιν, οἵτινες,
— also worthy account Others but again some are who
καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί
having-noticed this that these the bandagings misleading
εἰσι καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα,
are and not according-to nature force the projecting-parts
ἐπιδέουσι μὲν αὐτοὺς, σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι,
bandage indeed them with-compresses and linen-strips using
ὥσπερ καὶ οἱ ἄλλοι· ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ
as also the others having-girdled and the man with-band
τινὶ, ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι
some where most-easily-girdled he than-himself is when they-put

τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος,
the compresses on the projecting-parts of-the fracture
ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου
having-built-up on the projecting-parts the beginning of-the linen-strip
προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν, καὶ
they-tied to the girdle from the front and
οὕτως ἐπιδέουσιν, ἐπὶ τὴν ἴξιν τῆς κληῖδος ἐπιτανύοντες,
so bandage to the line of-the collarbone stretching
ἐς τοὔπισθεν ἄγοντες· κἄπειτα περιβάλλοντες περὶ τὸ
to the-back leading and-then putting-round round the
ζῶσμα, ἐς τοὔμπροσθεν ἄγουσι, καὶ αὖθις ἐς τοὔπισθεν.
girdle to the-front lead and again to the-back
Οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον,
The and some not round the girdle put-round the linen-strip
ἀλλὰ περὶ τὸ περίνεόν τε καὶ παρ᾽ αὐτὴν τὴν ἕδρην, καὶ
but round the perineum both and beside the-very the seat and
παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι
along the spinous-ridge circling the linen-strip so press
τὸ κάτηγμα. Ταῦτα γοῦν ἀπείρῳ μὲν ἀκοῦσαι
the fracture These-things at-any-rate to-the-inexperienced indeed to-hear
φαίνεται ἐγγὺς τοῦ κατὰ φύσιν εἶναι, χρεομένῳ δὲ
appears near to-the according-to nature to-be to-the-one-using but
ἄχρηστα· οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ᾽ εἰ
useless neither for stable no time not-even if
κατακέοιτό τις, καίτοι ἐγγυτάτω ἂν οὕτως· ἀλλ᾽ ὅμως
should-lie-down someone and-yet nearest — so but nevertheless
εἰ καὶ κατακείμενος ἢ τὸ σκέλος συγκάμψειεν, ἢ αὐτὸς
if even lying-down either the leg should-bend or he
καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο· ἄλλως τε
should-be-bent all — the bandages would-be-moved otherwise and
ἀσηρὴ ἡ ἐπίδεσις· ἥ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα
distressing the bandaging the both for seat is-intercepted crowded

τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται· τά τε
and the linen-strips in this the narrow-space become the both
αὖ περὶ τὴν ζώνην περιβαλλόμενα, οὐχ οὕτως ἰσχυρῶς
again round the belt put-round not so strongly
ἔζωσται, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην
has-been-girdled so-as not to-force to the upper-part the belt
ἐπανιέναι, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾷν τὰ
to-ride-up and so necessity — would-be all to-loosen the
ἐπιδέσματα. Ἄγχιστα δ' ἄν τις δοκέοι ποιέειν, καίπερ
bandages Nearest and — anyone would-seem to-do although
οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ
not great-things doing if with-the-ones indeed some of-the linen-strips round
τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων
the belt he-should-put-round with-the and most of-the linen-strips
τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι· οὕτω γὰρ ἂν μάλιστα
the original bandaging he-should-bandage so for — most
τὰ ἐπιδέσματα μόνιμά τε εἴη, καὶ ἀλλήλοισι τιμωρέοι.
the bandages stable both would-be and to-one-another would-help
Τὰ μὲν οὖν πλεῖστα εἴρηται, ἅσσα καταλαμβάνει τοὺς τὴν
The indeed then most has-been-said which overtake those the
κληῖδα καταγνυμένους. Προσξυνιέναι δὲ καὶ τόδε χρὴ,
collarbone broken To-understand-besides and also this one-must
ὅτι κληῖς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ
that collarbone as for the most-part is-broken so-that the indeed from
τοῦ στήθεος πεφυκὸς ὀστέον ἐς τὸ ἄνω μέρος ὑπερέχειν,
the breast grown bone to the upper part to-project
τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω
the but from the acromion grown bone in the lower
μέρει εἶναι. Αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε
part to-be Causes and of-these these that the indeed breast neither
κατωτέρω ἂν πολὺ, οὔτε ἀνωτέρω χωρήσειεν· σμικρὸς γὰρ
lower — much nor higher would-go small for

ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθεϊ· αὐτό τε γὰρ
the movement of-the joint of-the in the breast itself both for
ἑωυτῷ ξυνεχές ἐστι τὸ στῆθος καὶ τῇ ῥάχει· ἄγχιστα
with-itself continuous is the breast and with-the spine nearest
μὴν ἡ κληῖς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλοώδης
however the collarbone toward the of-the shoulder joint floating
ἐστίν· ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι διὰ τὴν τῆς
is it-is-compelled for frequently-moving to-be because-of the of-the
ἀκρωμίης σύζευξιν. Ἄλλως τε, ὅταν τρωθῇ, φεύγει ἐς τὸ
acromion junction Otherwise both when it-be-broken it-flees to the
ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον, καὶ οὐ μάλα
upper part the toward the breast attached and not very
ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει· καὶ γὰρ πέφυκε
to the lower part to-be-forced is-willing and for it-is-formed
κοῦφον, καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω.
light and the free-space for-it above more than below
Ὁ δὲ ὦμος, καὶ ὁ βραχίων, καὶ τὰ προσηρτημένα
The and shoulder and the upper-arm and the attached
τούτοισιν εὐαπόλυτά ἐστιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ
to-these easily-detached are from the ribs and the
στήθεος, καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ
breast and because-of this can both higher much
ἀνάγεσθαι καὶ κατωτέρω ὅταν οὖν καταγῇ ἡ κληῖς, τὸ
to-be-raised and lower when then be-broken the collarbone the
πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιῤῥέπει· ἐς
toward the shoulder bone to the lower inclines toward
τοῦτο γὰρ ἐπιφορώτερον αὐτὸ ἅμα τῷ ὤμῳ
this for more-prone it at-the-same-time with-the shoulder
καὶ τῷ βραχίονι κάτω ῥέψαι μᾶλλον, ἢ ἐς τὸ ἄνω.
and the upper-arm downward to-incline rather than to the upper-part
Ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστιν, ἀξυνετέουσιν ὅσοι τὸ
Since then these-things such are are-ignorant as-many-as the

ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται.
projecting-part of-the bone to the lower-part to-force think
Ἀλλὰ δῆλον, ὅτι τὸ κάτω πρὸς τὸ ἄνω προσακτέον ἐστίν·
But clear that the lower toward the upper must-be-brought is
τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν
this for has movement this for is also the having-stood-away
ἀπὸ τῆς φύσιος. Δῆλον οὖν, ὅτι ἄλλως μὲν οὐδαμῶς
from the nature Clear then that otherwise indeed in-no-way
ἐστιν ἀναγκάσαι τοῦτο (αἱ γὰρ ἐπιδέσιες οὐδέν τι
it-is to-force this the for bandagings nothing at-all
μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν)· εἰ δέ τις
more force-toward than force-away if but anyone
τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ἐόντα ἀναγκάζοι ὡς
the upper-arm against the ribs being should-force as
μάλιστα ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνηται εἶναι,
most upward so-that as sharpest the shoulder appear to-be
δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ
clear that so — it-would-be-fitted toward the bone the from
τοῦ στήθεος πεφυκὸς, ὅθεν ἀπεσπάσθη. Εἰ οὖν τις τῇ
the breast grown whence it-was-torn-off If then anyone with-the
μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως ξυναλθεσθῆναι
indeed bandaging should-use the customary of-the quickly to-heal-together
εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάτην εἶναι παρὰ
for-the-sake should-think and the-other-things all vain to-be beside
τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνίοι,
the posture the said correctly both — he-would-understand
ἰητρεύοι τε ἂν τάχιστα καὶ κάλλιστα. Κατακέεσθαι μέντοι
would-treat and — quickest and finest To-lie-down however
τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστιν· καὶ ἡμέραι ἱκαναὶ
the man great the difference is and days sufficient
τεσσαρεσκαίδεκα, εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι.
fourteen if he-keep-still twenty and very-many

A collarbone broken the opposite way is rare and settles when the shoulder is let go; one slipped sideways is set by raising the shoulder, then held by the elbow at the ribs and a sling. Short rules follow for the elbow: partial and complete displacements, the fevers of the backward kind, separations of the bones, and shortening in those dislocated from birth; it is reduced by raising over, extension, or rocking. The wrist slips mostly inward and is set over a table; a finger is extended and pushed straight.

15 Εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κληῖς κατεαγείη, ὃ
If however for-someone to the-opposite-way the collarbone should-be-broken which
οὐ μάλα γίνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον
not very happens so-that the indeed from the breast bone
ὑποδεδυκέναι, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ
to-have-sunk-under the but from the acromion bone to-project and
ἐποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά
to-ride on the other no great treatment these
γ' ἂν δέοιτο· αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων
at-least — would-need itself for the shoulder being-let-go and the upper-arm
ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα, καὶ φαύλη ἄν τις ἐπίδεσις
would-settle — the bones toward one-another and slight — some bandaging
ἀρκέοι, καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιντ' ἄν.
would-suffice and few days of-the callus would-be —

16 Εἰ δὲ μὴ κατεαγείη μὲν οὕτως, παρολισθάνοι δὲ ἐς τὸ
If but not it-be-broken indeed so slip-aside but to the
πλάγιον ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν
side either this-way or that-way into the nature indeed to-bring-back
ἂν δέοι, ἀναγαγόντα τὸν ὦμον σὺν τῷ βραχίονι,
— it-would-need raising the shoulder with the upper-arm
ὥσπερ καὶ πρόσθεν εἴρηται· ὅταν δὲ ἵζηται ἐς τὴν
just-as also before has-been-said when and it-settle into the
ἀρχαίην φύσιν, ταχείη ἂν ἡ ἄλλη ἰητρείη εἴη. Τὰ
original nature quick — the other treatment would-be The

μὲν οὖν πλεῖστα τῶν παραλλαγμάτων κατορθοῖ αὐτὸς
indeed then most of-the displacements sets-straight itself
ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω. Ὅσα δὲ
the upper-arm being-forced toward the upper-parts As-many-as but
τῶν ἄνωθεν παρολισθάνοντα ἐς τὸ πλάγιον ἦλθεν, ἢ
of-the from-above slipping-aside to the side went or
ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ
to the lower would-help — the setting-straight if the
μὲν ἄνθρωπος ὕπτιος κέοιτο, κατὰ δὲ τὸ μεσηγὺ τῶν
indeed man supine should-lie at and the between of-the
ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγῳ ὑποκέοιτο, ὡς
shoulder-blades higher something a-little should-lie-under so-that
περιῤῥηδὲς ἔῃ τὸ στῆθος ὡς μάλιστα· καὶ τὸν βραχίονα
sloping-away be the breast as most and the upper-arm
εἰ ἀνάγοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον, ὁ
if should-raise someone beside the ribs stretched-alongside the
δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ
and physician with-the indeed one hand into the head of-the
βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δὲ
upper-arm putting the palm of-the hand should-push with-the and
ἑτέρῃ τὰ ὀστέα τὰ κατεηγότα εὐτεθίζοι, οὕτως ἂν μάλιστα
other the bones the broken should-adjust so — most
ἐς τὴν φύσιν ἄγοι· ἀτὰρ, ὥσπερ ἤδη εἴρηται, οὐ
into the nature he-would-bring but as already has-been-said not
μάλα τὸ ἄνωθεν ὀστέον ἐς τὸ κάτω φιλέει ὑποδύνειν.
very the upper bone to the lower tends to-sink-under
Τοῖσι μὲν οὖν πλείστοισιν, ὅταν ἐπιδεθῶσι, τὸ σχῆμα
For-the indeed then most when they-are-bandaged the posture
ἀρήγει, παρ᾽ αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα,
helps beside the-very the ribs the elbow keeping
οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι· ἔστι δ᾽
so to the upper-part the shoulder to-be-forced there-are and

οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω,
in-whom indeed the shoulder to-force it-is-needful to the upper-part
ὡς εἴρηται, τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν,
as has-been-said the and elbow toward the breast to-bring
ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου
the-end and the hand beside the acromion of-the sound shoulder
ἴσχειν. Ἢν μὲν οὖν κατακέεσθαι τολμᾷ, ἀντιστήριγμά
to-keep If indeed then to-lie-down he-dare a-support
τι προστιθέναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ἔῃ·
some to-put one-must so-that — the shoulder highest be
ἢν δὲ περιίῃ, σφενδόνην χρὴ, ἐκ ταινίης περὶ τὸ ὀξὺ
if but he-walk-about a-sling one-must from band round the point
τοῦ ἀγκῶνος ποιήσαντα, ἀναλαμβάνειν περὶ τὸν αὐχένα.
of-the elbow having-made to-take-up round the neck

17 Ἀγκῶνος δὲ ἄρθρον παραλλάξαν μὲν ἢ παραρθρῆσαν
Of-elbow and joint having-shifted indeed or partly-dislocated
πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ
toward the-rib-side or outward remaining the point the in the
κοίλῳ τοῦ βραχίονος, ἐς εὐθὺ κατατείναντα, τὸ ἐξέχον
hollow of-the upper-arm into straight having-extended the projecting-part
ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον.
to-push back and to the side

18 Τὰ δὲ τελείως ἐκβάντα ἢ ἔνθα, ἢ ἔνθα, κατάτασις
The but completely dislocated either this-way or that-way extension
μὲν, ἐν ᾗ ὁ βραχίων κατεαγεὶς ἐπιδέεται· οὕτω γὰρ
indeed in which the upper-arm broken is-bandaged so for
ἂν τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. Ἐκπίπτει δὲ
— the curved-part of-the elbow not will-binder Is-dislocated and
μάλιστα ἐς τὸ πρὸς πλευρὰς μέρος. Τὰς δὲ κατορθώσιας,
most to the toward ribs part The and settings-straight
ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ
drawing-away as most so-that not touch the coronoid the

κεφαλὴ, μετέωρον περιάγειν, καὶ περικάμπτειν, καὶ μὴ
head raised to-bring-round and to-bend-round and not
ἐς εὐθὺ βιάζεσθαι, ἅμα δὲ ὠθέειν τἀναντία ἐφ'
into straight to-force at-the-same-time and to-push the-opposite-ways to
ἑκάτερα, καὶ παρωθέειν ἐς χώρην· ξυνωφελοίη δ' ἂν καὶ
each-side and to-push-beside into place would-help-together and — also
ἐπίστρεψις ἀγκῶνος ἐν τουτέοισιν, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον,
rotation of-elbow in these in the indeed to the supine
ἐν τῷ δὲ ἐς τὸ πρηνές. Ἴησις δὲ, σχήματος μὲν, ὀλίγῳ
in the but to the prone Treatment and of-posture indeed a-little
ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν, βραχίονα
higher the-end the hand than-the elbow to-keep upper-arm
δὲ κατὰ πλευράς· οὕτω δὲ καὶ ἀνάληψις, καὶ θέσις, καὶ
and along ribs so and also taking-up and placing and
εὔφορον· καὶ φύσις, καὶ χρῆσις ἐν κοινῷ, ἢν ἄρα μὴ κακῶς
easy and nature and use in common if then not badly
πωρωθῇ· πωροῦται δὲ ταχέως. Ἴησις δὲ, ὀθονίοισι
it-form-callus forms-callus and quickly Treatment and with-linen-strips
κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν, καὶ τὸ ὀξὺ προσεπιδέειν.
according-to the custom the articular and the point to-bandage-besides
Παλιγκοτώτατον δὲ ὁ ἀγκὼν πυρετοῖσιν, ὀδύνῃ ἀσώδεϊ, 19
Most-relapsing and the elbow with-fevers pain nauseous
ἀκρητοχόλῳ, ἀγκῶνος δὲ μάλιστα τοὐπίσω διὰ τὸ
pure-bilious of-elbow and most backward because-of the
ναρκώδες, δεύτερον δὲ τοὔμπροσθεν· ἴησις δὲ ἡ αὐτή·
numbness second and forward treatment and the same
ἐμβολαὶ δὲ, τοῦ μὲν ὀπίσω, ἐκτείναντα κατατεῖναι· σημεῖον
reductions and of-the indeed backward having-stretched-out to-extend sign
δέ· οὐ γὰρ δύνανται ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται
and not for they-can to-stretch-out of-the but forward not they-can

ξυγκάμπτειν· τουτέῳ δὲ ἐνθέντα τι ξυνειλιγμένον
to-bend for-this and having-put something rolled
σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης.
hard round this to-bend from extension suddenly

20 Διαστάσιος δὲ ὀστέων σημήϊον, κατὰ τὴν φλέβα τὴν
Of-separation and of-bones sign at the vein the
κατὰ τὸν βραχίονα σχιζομένην διαψαύοντι.
at the upper-arm branching to-one-feeling-through

21 Ταῦτα δὲ ταχέως διαπωροῦται· ἐκ γενεῆς δὲ, βραχύτερα
These and quickly form-callus from birth and shorter
τὰ κάτω τοῦ σίνεος ὀστέα, πλεῖστον τὰ ἐγγύτατα τοῦ
the below the injury bones most the nearest the
πήχεος, δεύτερον, χειρὸς, τρίτον, δακτύλων· βραχίων δὲ
forearm second of-hand third of-fingers upper-arm but
καὶ ὦμος, ἐγκρατέστερα διὰ τὴν τροφήν· ἡ δὲ ἑτέρη
and shoulder stronger because-of the nourishment the and other
χεὶρ διὰ τὰ ἔργα ἔτι πλείω ἐγκρατεστέρη. Μινύθησις
hand because-of the works still more stronger Wasting
δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσωθεν· εἰ δὲ μὴ,
and of-flesh if indeed outward it-was-dislocated on-the-inside if but not
ἐς τοὐναντίον, ᾗ ἐξέπεσεν.
to the-opposite-side where it-was-dislocated

22 Ἀγκὼν δὲ ἢν ἔσω ἢ ἔξω ἐκβῇ, κατάτασις μὲν ἐν σχήματι
Elbow and if inward or outward it-go extension indeed in posture
ἐγγωνίῳ τῷ πήχεϊ πρὸς βραχίονα· τὴν μὲν μασχάλην
at-a-right-angle the forearm toward upper-arm the indeed armpit
ἀναλαμβάνοντα ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ
taking-up with-band to-hang-up at-elbow and end
ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος, ἐκκρεμάσαι, ἢ
putting-under something beside the joint a-weight to-hang-from or
χερσὶ καταναγκάζειν· ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου, αἱ
with-hands to-force raised-over and the joint the

παραγωγαὶ τοῖσι θέναρσιν, ὡς τὰ ἐν χερσίν· ἐπίδεσις
movings with-the palms as the-things in hands bandaging
ἐν τουτέῳ τῷ σχήματι, καὶ ἀνάληψις, καὶ θέσις.
in this the posture and taking-up and placing
Τὰ δὲ ὄπισθεν, ἐξαίφνης ἐκτείνοντα, διορθοῦν τοῖσι 23
The and backward suddenly stretching-out to-set-straight with-the
θέναρσιν· ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ
palms at-the-same-time and it-is-needful in the setting-straight also
ἐν τοῖσιν ἑτέροισιν. Ἢν δὲ ἔμπροσθεν, ἀμφὶ ὀθόνιον
in the other-cases If but forward round linen-strip
ξυνειλιγμένον, εὔογκον, ξυγκάμπτοντα ἅμα διορθοῦν.
rolled of-good-bulk bending at-the-same-time to-set-straight
Ἢν δὲ ἑτεροκλινὲς ἔῃ, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα 24
If but inclined-both-ways it-be in the setting-straight both at-once
χρὴ ποιέειν. Τῆς δὲ μελέτης τῆς θεραπείης, κοινὸν τὸ
one-must to-do Of-the and care of-the treatment common the
σχῆμα καὶ ἡ ἐπίδεσις. Δύναται δὲ καὶ ἐκ τῆς διατάσιος
posture and the bandaging It-can and also from the stretching
κοινῇ ξυμπίπτειν ἅπαντα.
in-common to-fall-together all
Τῶν δὲ ἐμβολέων, αἱ μὲν ἐξ ὑπεραιωρήσιος 25
Of-the and reductions the-ones indeed from raising-over
ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ
are-reduced the-others and from extension the-others and
ἐκ περισφάλσιος· αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν
from rocking-round these and from the extremes of-the
σχημάτων, ἢ τῇ, ἢ τῇ, ξὺν τῷ τάχει.
postures either this-way or that-way with the speed
Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω, ἢ ἔξω, ἔσω δὲ τὰ 26
Of-hand and joint slips-out either inward or outward inward and the
πλεῖστα. Σημήϊα δὲ εὔσημα· ἢν μὲν εἴσω, ξυγκάμπτειν
most Signs and clear if indeed inward to-bend

τοὺς δακτύλους οὐ δύνανται· ἢν δὲ ἔξω, ἐκτείνειν. Ἐμβολὴ
the fingers not they-can if but outward to-stretch Reduction
δὲ, ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν
and over a-table the fingers having the-ones indeed
τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι,
to-stretch the-others and to-counter-stretch the and projecting-part either with-palm
ἢ πτέρνῃ ἅμα ἀπωθέειν, πρόσω καὶ κάτωθεν κατὰ
or with-heel at-the-same-time to-push forward and from-below at
τὸ ἕτερον ὀστέον, ὄγκον μαλθακὸν ὑποθεὶς, ἢν μὲν
the other bone pad soft having-put-under if indeed
ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. Ἴησις
upward having-turned-down the hand if but downward supine Treatment
δὲ, ὀθονίοισιν.
and with-linen-strips

27 Ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει, ἢ ἔσω, ἢ ἔξω, ἢ ἔνθα, ἢ ἔνθα,
Whole and the hand slips-out either inward or outward or this-way or that-way
μάλιστα δὲ εἴσω· ἔστι δ' ὅτε καὶ ἡ ἐπίφυσις ἐκινήθη· ἔστι
most and inward it-is and when also the epiphysis was-moved it-is
δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. Τουτέοισι κατάτασις
and when the one of-the bones was-separated For-these extension
ἰσχυρὴ ποιητέη· καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ
strong must-be-made and the indeed projecting-part to-push the and
ἕτερον ἀντωθέειν, δύο εἴδεα ἅμα, ἐς τοὐπίσω καὶ ἐς τὸ
other to-counter-push two kinds at-once to the-back and to the
πλάγιον, ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ. Παλίγκοτα δὲ
side either with-hands on table or with-heel Relapsing and
καὶ ἀσχήμονα· τῷ δὲ χρόνῳ κρατύνεται ἐς χρῆσιν. Ἴησις,
also unseemly in-the and time is-made-firm for use Treatment
ὀθονίοισι ξὺν τῇ χειρὶ καὶ τῷ πήχεϊ· καὶ νάρθηκας μέχρι
with-linen-strips with the hand and the forearm and splints as-far-as

δακτύλων τιθέναι· ἐν νάρθηξι δὲ τεθέντα ταῦτα πυκνότερον
the-fingers to-put in splints and placed these more-often
λύειν, ἢ τὰ κατήγματα, καὶ καταχύσει πλείονι χρέεσθαι.
to-undo than the fractures and with-affusion more to-use
Ἐκ γενεῆς δὲ, βραχυτέρη ἡ χεὶρ γίνεται, καὶ μινύθησις 28
From birth and shorter the hand becomes and wasting
σαρκῶν μάλιστα τἀναντία, ἢ ἧ τὸ ἔκπτωμα·
of-flesh most on-the-opposite-side than where the dislocation
ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.
in-one-grown and the bones remain
Δακτύλου δὲ ἄρθρον, ὀλισθὸν μὲν, εὔσημον. Ἐμβολὴ 29
Of-finger and joint having-slipped indeed easily-recognized Reduction
δὲ, κατατείναντα ἐς ἰθὺ, τὸ μὲν ἐξέχον ἀπωθέειν,
and having-extended into straight the indeed projecting-part to-push
τὸ δὲ ἐναντίον ἀντωθέειν· ἴησις δὲ, ὀθονίοισιν. Μὴ
the and opposite to-counter-push treatment and with-linen-strips Not
ἐμπεσὸν δὲ, ἐπιπωροῦται ἔξωθεν. Ἐκ γενεῆς δὲ ἢ ἐν
having-fallen-in and it-forms-callus outside From birth and or in
αὐξήσει ἐξαρθρήσαντα, τὰ ὀστέα βραχύνεται τὰ κάτω τοῦ
growth having-been-dislocated the bones are-shortened the below the
ὀλισθήματος, καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα,
slipping and flesh waste on-the-opposite-side most
ἢ ὡς τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.
than as the dislocation in-one-grown and the bones remain

The jaw seldom dislocates completely, since a bone from the upper jaw, joined to the bone under the ear, shuts in the heads of the lower jaw, and since eating seldom forces a man to gape wider than he can; yawning often only slackens it. When it slips, the lower jaw projects and turns to the opposite side, and the jaws close only with difficulty. It is reduced by the fingers inside the mouth and outside at the chin, drawing the jaw back into place, pushing it backward and closing the teeth, all at once. When both sides are out and are not reduced, continuous fever and stupor follow, and death mostly on the tenth day. A broken lower jaw is set with the fingers along the tongue and the teeth bound together with gold; one snapped clean through is held by leather straps glued on and tied over the head, the kindest of contrivances, and is firm in twenty days.

30 Γνάθος δὲ ὀλίγοισι τελέως ἐξήρθρησεν· ὀστέον τε γὰρ τὸ
Jaw and in-few completely was-put-out bone both for the
ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ
from the upper jaw grown is-yoked-under against the under
τὸ οὖς ὀστέῳ προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς
the ear bone attached which shuts-off the heads
τῆς κάτω γνάθου, τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ
of-the lower jaw of-the-one indeed higher being of-the-other and
κατωτέρω τῶν κεφαλέων. Τὰ δὲ ἄκρεα τῆς κάτω γνάθου,
lower of-the heads The and ends of-the lower jaw
τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρείσδυτον, τὸ δ' αὖ
the-one indeed because-of the length not easy-to-slip-in the-other but again
κορωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος· ἅμα
hooked both and projecting over the cheek-bone at-the-same-time
τε ἀπ' ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες
both from both the ends these sinewy tendons
πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ
grow from which are-attached the muscles the temporal and

μασσητῆρες καλεόμενοι· διὰ τοῦτο δὲ καλέονται, καὶ
masseters called because-of this and they-are-called and
διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται· ἐν γὰρ
because-of this they-are-moved because thence they-are-attached in for
τῇ ἐδωδῇ, καὶ ἐν τῇ διαλέκτῳ, καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ
the eating and in the speaking and in the other use of-the
στόματος, ἡ μὲν ἄνω γνάθος ἀτρεμέει· ξυνήρτηται γὰρ τῇ
mouth the indeed upper jaw keeps-still it-is-joined for to-the
κεφαλῇ. Καὶ οὐ διήρθρωται· ἡ δὲ κάτω γνάθος κινέεται·
head And not is-articulated the but lower jaw moves
ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου, καὶ ἀπὸ τῆς κεφαλῆς.
it-is-disarticulated for from the upper jaw and from the head
Διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι πρῶτον τοῦτο τὸ
Why indeed then in spasms and tetanus first this the
ἄρθρον ἐπισημαίνει συντεταμένον, καὶ διότι πληγαὶ καίριοι
joint shows-signs contracted and why blows fatal
καὶ καροῦσαι αἱ κροταφίτιδες γίνονται, ἐν ἄλλῳ λόγῳ
and stupefying the temporal become in other account
εἰρήσεται. Περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν τάδε τὰ αἴτια·
it-will-be-said About and the not very to-be-put-out these the causes
αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται
cause and also this that not very overtake such
ἀνάγκαι βρωμάτων, ὥστε τὸν ἄνθρωπον χανέειν μέζον ἢ
necessities of-foods so-that the man to-gape more than
ὅσον δύναται· ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου
as-much-as he-can would-be-dislocated and — from no other
σχήματος, ἢ ἀπὸ τοῦ μέγα χανόντα παραγαγεῖν τὴν
posture than from the widely gaping to-draw-aside the
γένυν ἐπὶ θάτερα. Προσξυμβάλλεται μέντοι καὶ τόδε πρὸς
jaw to the-other-side Contributes-besides however also this toward
τὸ ἐκπίπτειν· ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ
the to-be-dislocated as-many-as for sinews and as-many-as muscles beside

τὰ ἄρθρα εἰσὶν, ἢ ἀπὸ ἄρθρων ἀφ᾽ ὧν ξυνδέδενται,
the joints are or from joints from which they-are-bound-together
τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα
of-these as-many-as in the use most-often are-moved-about these
καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ
also to the stretchings most-able to-yield just-as
καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει.
also the skins the best-tanned most yield have
Περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις·
About which then the account is-dislocated indeed jaw seldom
σχᾶται μέντοι πολλάκις ἐν χάσμῃσιν, ὥσπερ καὶ ἄλλαι
is-slackened however often in yawnings just-as also other
πολλαὶ μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσιν.
many of-muscles displacements and of-sinews this make
Δῆλον μὲν οὖν ἐκ τῶνδε μάλιστά ἐστιν, ὅταν ἐκπεπτώκῃ·
Clear indeed then from these most it-is when it-has-been-dislocated
προΐσχει γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν, καὶ
projects for the lower jaw to the-front and
παρῆκται τἀναντία τοῦ ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ
is-drawn-aside to-the-opposite of-the slipping and of-the bone the
κορωνὸν ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον,
hooked-process bulkier appears beside the upper jaw
καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους. Τούτοισι δὲ
and with-difficulty they-bring-together the lower jaws For-these and
ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ᾽ ἂν ἁρμόζουσα· χρὴ γὰρ
reduction obvious which would-be — fitting one-must for
τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου,
the indeed someone to-hold the head of-the injured
τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ
the and having-grasped the lower jaw both inside and
ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ
outside with-the fingers at the chin gaping the

ἀνθρώπου ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν
man as-much-as moderately he-can first indeed to-move-about
τὴν κάτω γνάθον χρόνον τινὰ, τῇ καὶ τῇ παράγοντα
the lower jaw time some this-way and that-way drawing
τῇ χειρὶ, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν
with-the hand and himself the man to-order loose the
γνάθον ἔχειν, καὶ ξυμπαράγειν, καὶ ξυνδιδόναι ὡς μάλιστα·
jaw to-hold and to-move-with and to-yield as most
ἔπειτα ἐξαπίνης σχάσαι, τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα
then suddenly to-let-go to-three movements at-once applying
τὸν νόον· δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς ἐς
the mind must indeed for to-be-drawn from the distortion into
τὴν φύσιν, δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν
the nature must and to the-back to-be-pushed the jaw the
κάτω, δεῖ δὲ ἑπόμενον τούτοισι ξυμβάλλειν τὰς γνάθους,
lower must and following these to-bring-together the jaws
καὶ μὴ χάσκειν. Ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο
and not to-gape Reduction indeed then this and not — would-be
ἀπ᾽ ἄλλων σχημάτων. Ἰητρείη δὲ βραχείη ἀρκέει· σπλῆνα
from other postures Treatment and short suffices a-compress
προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν.
applying cerated with-loose bandage to-bandage
Ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίναντα τὸν
Safer and to-handle it-is supine having-laid-down the
ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου
man having-propped the head of-him on leather
ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ·
pillow as fullest so-that as least it-yield
προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου.
to-hold-down-besides and someone one-must the head of-the injured

31 Ἢν δ' ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ
If but both the jaws be-put-out the indeed treatment the
αὐτή. Ξυμβάλλειν δέ τι ἧσσον οὗτοι τὸ στόμα δύνανται·
same To-bring-together and somewhat less these the mouth can
καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν, ἀστραβέες δέ·
and for more-prominent the jaws in-these undistorted but
τὸ δὲ ἀστραβὲς μάλιστ' ἂν γνοίης τοῖσιν ὁρίοισι τῶν
the and undistortedness most — you-would-recognize by-the boundaries of-the
ὀδόντων, τῶν τε ἄνω καὶ τῶν κάτω κατ' ἴξιν. Τούτοισι
teeth of-the both upper and of-the lower in line For-these
ξυμφέρει ἐμβάλλειν ὡς τάχιστα· ἐμβολῆς δὲ τρόπος
is-of-advantage to-reduce as quickly-as-possible of-reduction and way
πρόσθεν εἴρηται. Ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς
before has-been-said If but not it-fall-in danger about the life
ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσιος (καρώδεες
from fevers continuous and dull stupor stupefying
γὰρ οἱ μύες οὗτοι, καὶ ἀλλοιούμενοι, καὶ ἐντεινόμενοι
for the muscles these both altered and stretched
παρὰ φύσιν)· φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν
contrary-to nature tends and also the belly to-pass
τούτοισι χολώδεα, ἄκρητα, ὀλίγα· καὶ ἢν ἐμέωσιν, ἄκρητα
for-these bilious-things unmixed few and if they-vomit unmixed
ἐμέουσιν· οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα.
they-vomit these then also die on-the-tenth-day mostly

32 Ἢν δὲ κατεαγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ
If but be-broken the lower jaw if indeed not it-be-snapped-off
παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐκκεκλιμένον δὲ ἔῃ,
altogether but hold-together the bone inclined but be
κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον, παρά γε τὴν γλῶσσαν
to-set-straight indeed one-must the bone beside at-least the tongue
πλαγίην ὑπείραντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν
sideways having-passed-under the fingers the and outside

ἀντερείδοντα, ὡς ἂν ξυμφέρῃ· καὶ ἢν διεστραμμένοι ἔωσιν
counter-pressing as — be-of-advantage and if displaced be
οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα καὶ κεκινημένοι, ὁκόταν
the teeth the at the wound and moved when
τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς
the bone be-set-straight to-yoke the teeth one-must to
ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα
one-another not only the two but also more most
μὲν χρυσίῳ, ἔστ' ἂν κρατυνθῇ τὸ ὀστέον, εἰ δὲ μὴ,
indeed with-gold until — be-made-firm the bone if but not
λίνῳ· ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ
with-thread then to-bandage with-cerate and compresses few and
ὀθονίοισιν ὀλίγοισι, μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν.
linen-strips few not too pressing but with-loose
Εὖ γὰρ εἰδέναι χρὴ, ὅτι ἐπίδεσις ὀθονίων, γνάθου
Well for to-know one-must that bandaging of-linen-strips of-jaw
καταγείσης, μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο,
broken small indeed — would-benefit if properly it-were-bandaged
μεγάλα δ' ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. Πυκνὰ δὲ
great but — would-harm if badly it-were-bandaged Often and
παρὰ τὴν γλῶσσαν ἐσματέεσθαι χρὴ, καὶ πουλὺν χρόνον
beside the tongue to-feel one-must and much time
ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ
to-hold-out with-the fingers setting-straight of-the bone the
ἐκκλιθέν· ἄριστον δὲ, εἰ αἰεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε.
inclined-part best and if always he-could but not possible —
Ἢν δὲ ἀποκαυλισθῇ παντάπασι τὸ ὀστέον (ὀλιγάκις δὲ 33
If but be-snapped-off altogether the bone seldom and
τοῦτο γίνεται), κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτω,
this happens to-set-straight indeed one-must the bone so
καθάπερ εἴρηται. Ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας
as has-been-said When and you-set-straight the teeth

χρὴ ζευγνῦναι, ὡς πρόσθεν εἴρηται· μέγα γὰρ ἂν
one-must to-yoke as before has-been-said greatly for —
ξυλλαμβάνοι ἐς τὴν ἀτρεμίην, προσέτι καὶ ἤν τις ὀρθῶς
it-would-help toward the keeping-still besides also if anyone correctly
ζεύξῃ, ὥσπερ χρὴ, τὰς ἀρχὰς ῥάψας. Ἀλλὰ γὰρ οὐ
yoke as one-must the ends having-sewn But for not
ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως διηγέεσθαι,
easy in writing surgery all exactly to-describe
ἀλλὰ καὶ αὐτὸν ὑποτοπέεσθαι χρὴ ἐκ τῶν γεγραμμένων.
but also himself to-conjecture one-must from the written-things
Ἔπειτα χρὴ δέρματος καρχηδονίου, ἢν μὲν νηπιώτερος
Then one-must of-skin Carthaginian if indeed younger
ἔῃ ὁ τρωθεὶς, ἀρκέει τῷ λοπῷ χρέεσθαι, ἢν δὲ τελειότερος
be the wounded suffices the rind to-use if but more-grown
ἔῃ, αὐτῷ τῷ δέρματι· ταμόντα δὲ χρὴ εὖρος ὡς
be with-the-very the skin having-cut and one-must breadth as
τριδάκτυλον, ἢ ὅκως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν
three-fingers or as — it-fit having-anointed with-gum the
γνάθον (εὐμενέστερον γὰρ), κόλλῃ προσκολλῆσαι τὸ δέρμα
jaw kindlier for with-glue to-glue-on the skin
ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ἀπολείποντα
end toward the snapped-off-part of-the jaw leaving
ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον· τοῦτο μὲν
as a-finger from the wound or a-little more this indeed
ἐς τὸ κάτω μέρος· ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ
to the lower part let-it-have and a-notch at the line of-the
γενείου ὁ ἱμὰς, ὡς ἀμφιβεβήκῃ ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου.
chin the strap so-that it-go-round round the point of-the chin
Ἕτερον δὲ ἱμάντα τοιοῦτον, ἢ ὀλίγῳ πλατύτερον
Another and strap such or a-little broader
προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου,
to-glue-on one-must to the upper part of-the jaw

ἀπολείποντα καὶ τοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ
leaving also this from the wound as-much-as-very the
ἕτερος ἀπέλιπεν· ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ
other left let-be-split and also this the strap the round
τὸ οὖς περίβασιν. Ἀποξέες δὲ ἔστωσαν οἱ ἱμάντες ἀμφὶ
the ear going-round Tapering and let-be the straps at
τὴν ξυναφήν· ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος
the junction in and the gluing the flesh-side of-the leather
πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως. Ἔπειτα
toward the skin let-be more-adhesive for so Then
κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμάντα μᾶλλον δέ τι
having-extended one-must also this the strap more and somewhat
τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀπομυλλήνῃ ἡ
the round the chin so-that as most not be-distorted the
γνάθος, ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφὴν, κἄπειτα
jaw to-fasten the straps at the crown and-then
περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι, καὶ κατάβλημα
round the forehead with-linen-strip to-bind and a-cover
χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμέῃ τὰ δεσμά. Τὴν
one-must be as is-customary so-that keep-still the bonds The
δὲ κατάκλισιν ποιεέσθω ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ
and lying-down let-him-make on the sound jaw not on-the
γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. Ἰσχναίνειν δὲ χρὴ
jaw resting but on-the head To-make-lean and one-must
τὸ σῶμα ἄχρι ἡμερέων δέκα, ἔπειτα ἀνατρέφειν μὴ βραδέως·
the body until days ten then to-feed-up not slowly
ἢν γὰρ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν
if for in the first days not it-inflame in twenty
ἡμέρῃσιν ἡ γνάθος κρατύνεται· ταχέως γὰρ ἐπιπωροῦται,
days the jaw is-made-firm quickly for it-forms-callus
ὥσπερ καὶ τὰ ἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ.
just-as also the other the porous bones if not it-mortify

Ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν ξυμπάντων ὀστέων
But for about mortifications of-the all bones
ἄλλος μακρὸς λόγος λείπεται. Αὕτη ἡ διάτασις ἡ ἀπὸ
other long account remains This the stretching the from
τῶν κολλημάτων εὐμενὴς, καὶ εὐταμίευτος, καὶ ἐς πολλὰ
the gluings kindly and easy-to-regulate and to many
καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. Τῶν δὲ ἰητρῶν οἱ
and in-many-places settings-straight useful Of-the and physicians the
μὴ ξὺν νόῳ εὔχειρες, καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί
not with mind dexterous also in other wounds such
εἰσι καὶ ἐν γνάθων κατήξεσιν· ἐπιδέουσι γὰρ γνάθον
are and in of-jaws fractures they-bandage for jaw
κατεαγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς. Πᾶσα γὰρ
broken variously both well and badly All for
ἐπίδεσις γνάθου οὕτω καταγείσης ἐκκλίνει τὰ ὀστέα τὰ
bandaging of-jaw so broken turns-aside the bones the
ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον, ἢ ἐς τὴν φύσιν ἄγει.
toward the fracture inclining rather than toward the nature leads

A lower jaw parted at the chin is pushed back into line, the teeth bound together, and dressed with cerate and a short bandage. The nose breaks in many ways, and lovers of fine bandaging harm it most. A contused ridge is best plastered with a paste of washed wheat flour. A nose broken downward is raised at once, before callus forms, by fingers or a splint inside the nostrils while the fingers shape it from outside; one broken sideways is pushed back and held by a leather strap glued beside the nostril and led round the head.

Ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν ξύμφυσιν τὴν κατὰ τὸ 34
If but the lower jaw at the junction the at the
γένειον διασπασθῇ (μούνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω
chin be-torn-apart only and this junction in the lower
γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαί· ἀλλ' οὐ βούλομαι
jaw is in but the upper many but not I-wish
ἀποπλανᾶν τὸν λόγον, ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων
to-lead-astray the account in other for kinds of-diseases
περὶ τούτων λεκτέον), ἢν οὖν διαστῇ ἡ κατὰ τὸ
about these must-be-spoken if then be-separated the at the
γένειον ξύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστιν·
chin junction to-set-straight indeed of-every man it-is
τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ ἐς τὸ ἔσω μέρος,
the indeed for displaced to-push-in one-must to the inner part
προσβάλλοντα τοὺς δακτύλους· τὸ δὲ εἴσω ῥέπον ἀνάγειν
applying the fingers the but inward inclining to-bring-up
ἐς τὸ ἔξω μέρος, ἐνερείσαντα τοὺς δακτύλους. Ἐς διάστασιν
to the outer part pressing-in the fingers Into separation
μέντοι διατεινάμενον, ταῦτα χρὴ ποιέειν· ῥᾷον γὰρ οὕτως
however having-stretched these one-must to-do easier for so
ἐς τὴν φύσιν ἥξει, ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα
into the nature it-will-come than if pressing someone into one-another

τὰ ὀστέα, καταναγκάζειν πειρᾶται· τοῦτο παρὰ πάντα τὰ
the bones to-force tries this beside all the
τοιαῦτα ὑπομνήματα χάριεν εἰδέναι. Ὁκόταν δὲ κατορθώσῃς,
such memoranda agreeable to-know When and you-set-straight
ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν
to-yoke indeed one-must the teeth the on-this-side and on-that
πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. Ἰῆσθαι δὲ
to one-another just-as also before it-has-been-said To-treat and
χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν.
one-must with-cerate and compresses few and linen-strips
Ἐπίδεσιν δὲ βραχείην ποικίλην μάλιστα τοῦτο τὸ χωρίον
Bandaging and short varied most this the region
ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσορρόπου ἐστὶν, ὡς
admits near for somewhat to-the evenly-balanced it-is as
δὴ μὴ ἰσόρροπον ἐόν· τοῦ δὲ ὀθονίου τὴν περιβολὴν
indeed not evenly-balanced being of-the and linen-strip the turn
ποιέεσθαι χρὴ, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ
to-make one-must if indeed the right jaw be-displaced to
δεξιὰ (ἐπὶ δεξιὰ γὰρ νομίζεται εἶναι, ἢν ἡ δεξιὴ χεὶρ
right to right for is-thought to-be if the right hand
προηγῆται τῆς ἐπιδέσιος)· ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ,
These and such become if carefully indeed
παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι καὶ ὀρθῶς, ἐν οἷσι
they-be-trained in the postures and correctly in which
δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην, ἐπιμελέως
it-is-needful before to-be-made-firm toward the walking carefully
δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσιν· πλείστης δὲ ἐπιμελείης
and also correctly when they-are-made-firm most and care
δέονται, οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν αὕτη ἡ ξυμφορὴ
need in-whom — youngest being this the misfortune
γένηται· ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον
occur if for they-be-neglected infants being useless
παντάπασι καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. Αἱ δὲ
altogether and growthless whole the leg becomes The and
σάρκες τοῦ ξύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ
flesh of-the whole leg waste more than of-the
ὑγιέος· πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ
sound very however by-much less for-these waste than
οἷσιν ἂν ἔσω ἐκπεπτώκῃ, διὰ τὴν χρῆσιν καὶ τὴν
in-whom — inward it-be-dislocated because-of the use and the
ταλαιπωρίην, οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλεϊ,
labor such-as at-once to-be-able to-use the leg
ὡς καὶ πρόσθεν ὀλίγῳ περὶ τῶν γαλιαγκώνων εἴρηται.
as also before a-little about the weasel-armed has-been-said
Εἰσὶ δέ τινες, ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, 56
There-are and some of-whom for-the-ones indeed from birth at-once
τοῖσι δὲ καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων
for-the-others and also by disease of-both the legs

ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος· τούτοισιν οὖν τὰ μὲν
were-displaced the joints to the outer part for-these then the indeed
ὀστέα ταὐτὰ παθήματα πάσχει· αἱ μέντοι σάρκες ἥκιστα
bones the-same sufferings suffer the however flesh least
ἐκθηλύνονται τοῖσι τοιούτοισιν· εὔσαρκα δὲ καὶ τὰ σκέλεα
are-made-soft in-the such well-fleshed and also the legs
γίνεται, πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι
become except if somewhat then at the inner part it-should-fall-short
ὀλίγον· διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι
a-little because-of this and well-fleshed they-are because for-both
τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται· ὁμοίως γὰρ
the legs equally the use becomes equally for
σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα· ἐξεχέγλουτοι
they-sway in the walking this-way and that-way with-projecting-buttocks
δὲ οὗτοι ἰσχυρῶς φαίνονται διὰ τὴν ἔκστασιν τῶν
and these strongly appear because-of the displacement of-the
ἄρθρων. Ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ
joints If but not mortify for-them the bones nor
κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται (ἐνίους γὰρ καὶ τὰ
humped higher than-the hips they-become some for also the
τοιαῦτα καταλαμβάνει), ἢν οὖν μὴ τοιοῦτόν τι γένηται,
such overtake if then not such something happen
ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται· ἀναυξέστεροι μέντοι
sufficiently healthy in-other-things they-get-on more-stunted however
τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς.
the whole body these become except the head

57 Ὅσοισι δ' ἂν ἐς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ
For-as-many-as and — to the-back the head of-the thigh
ἐκπέσῃ, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται
be-dislocated in-few and it-is-dislocated these to-stretch-out not can
τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι
the leg neither at the joint the dislocated nor at-all

κάρτα κατὰ τὴν ἰγνύην· ἀλλ᾽ ἥκιστα τῶν ἐκπαλέων οὗτοι
very at the knee-hollow but least of-the dislocated these
ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν
stretch-out both the at the groin and the at the
ἰγνύην ἄρθρον. Προσξυνιέναι μὲν οὖν καὶ τόδε χρὴ
knee-hollow joint To-understand-besides indeed then also this one-must
(εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι, καὶ τοὺς πλείστους
useful for and much worth it-is and the most
λήθει), ὅτι οὐδ᾽ ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην
it-escapes that not-even being-healthy they-can at the knee-hollow
ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύωσι καὶ τὸ κατὰ
to-stretch-out the joint if not they-stretch-out-together also the at
τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν
the groin joint except if not very upward they-raise the
πόδα, οὕτω δ᾽ ἂν δύναιντο· οὐ τοίνυν οὐδὲ ξυγκάμπτειν
foot so and — they-could not then not-even to-bend
δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ
they-can the at the knee-hollow joint equally but
πολὺ χαλεπώτερον, ἢν μὴ ξυγκάμψωσι καὶ τὸ κατὰ τὸν
much harder if not they-bend also the at the
βουβῶνα ἄρθρον. Πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα
groin joint Many and also other-things in the body
τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ
such kinships have both at of-sinews contractions and
κατὰ μυῶν σχήματα, καὶ πλεῖστά τε καὶ πλείστου ἄξια
at of-muscles postures and most both and most worth
γινώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου
to-be-known than as anyone thinks also at the of-the intestine
φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ κατὰ τὰς τῶν
nature and the of-the whole belly and at the of-the

ὑστερέων πλάνας καὶ ξυντάσιας· ἀλλὰ περὶ μὲν τούτων
wombs wanderings and contractions but about indeed these
ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισιν.
elsewhere account will-be akin to-the now said-things
Περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύνανται,
About which and the account is neither to-stretch-out they-can
ὥσπερ ἤδη εἴρηται· βραχύτερόν τε τὸ σκέλος φαίνεται
as already has-been-said shorter both the leg appears
διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε
because-of two causes because both not it-is-stretched-out because both
πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου· ἡ γὰρ φύσις
toward the flesh it-has-slipped the of-the buttock the for nature
τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ
of-the hip of-the bone here where also the head and the
αὐχὴν τοῦ μηροῦ γίνεται, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερὴς
neck of-the thigh becomes when and it-be-dislocated sloping
πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. Ξυγκάμπτειν
is-formed on the buttock the outer part To-bend
μέντοι δύνανται, ὅταν μὴ ἡ ὀδύνη κωλύῃ· καὶ ἡ κνήμη
however they-can when not the pain prevent and the leg
τε καὶ ὁ ποὺς ὀρθὰ ἐπιεικέως φαίνεται, καὶ οὔτε τῇ,
both and the foot straight reasonably appear and neither this-way
οὔτε τῇ πολὺ ἐκκεκλιμένα· κατὰ δὲ τὸν βουβῶνα δοκέει
nor that-way much inclined at and the groin seems
τι ἡ σὰρξ λαπαρωτέρη εἶναι, ποτὶ καὶ ψαυομένη, ἅτε
somewhat the flesh flabbier to-be besides also being-touched since
τοῦ ἄρθρου ἐς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος· κατὰ
the joint to the to the-other-side parts having-slipped at
δὲ αὐτὸ τὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ
and the-very the buttock being-felt-through the head of-the thigh

δοκέει ἐξογκέειν μᾶλλον. Τὰ μὲν οὖν σημήϊα ταῦτα, ᾧ
seems to-bulge more The indeed then signs these in-whom
ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός.
— to the behind be-dislocated the thigh

XIV · UNREDUCED BACKWARD AND FORWARD DISLOCATIONS

A grown man with an unreduced backward dislocation walks bent at the groin, propped by a hand on the thigh or a stick; in a child the whole leg is stunted and stays bent. Why understand incurable cases? The same knowledge prevents them and makes predictions brilliant. Every part thrives with moderate use and wastes with rest. The forward dislocation keeps the leg straight and retains urine at first; a man walks upright, stiff, on the heel; in a child the leg grows short and serves with a stick.

Ὅτεῳ μὲν οὖν ἂν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, 58
In-whom indeed then — full-grown already dislocated not it-fall-in
ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ
to-walk indeed he-can when the time have-elapsed and
ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ
the pain cease and be-accustomed the joint in the flesh
ἐνστροφᾶσθαι· ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν
to-turn-about he-is-compelled however strongly to-bend
κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας,
at the groins walking because-of two causes
ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται διὰ
at-once indeed because much shorter the leg becomes because-of
τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλοῦ
the aforesaid and with-the indeed heel even very much
δέεται ψαύειν τῆς γῆς· μόλις δὲ τῷ στήθεϊ τοῦ ποδὸς
lacks to-touch the ground hardly and with-the ball of-the foot

καθικνέεται, καὶ οὐδὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν
it-reaches and not-even so if not he-bend he himself
κατὰ τοὺς βουβῶνας, καὶ τῷ ἑτέρῳ σκέλεϊ κατὰ τὴν
at the groins and with-the other leg at the
ἰγνύην ἐπιξυγκάμψῃ. Ἐπὶ δὲ τούτοισιν ἀναγκάζεται,
knee-hollow bend-besides In-addition and to-these he-is-compelled
ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς
so-that with-the hand the on the injured leg to-be-propped against
τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσει· ἀναγκάζει οὖν τι
the upper of-the thigh at each step forces then somewhat
καὶ τοῦτο αὐτό, ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας·
also this itself so-that to-be-bent at the groins
ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ οὐ
in for the changing of-the legs in the walking not
δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ
can the body to-be-carried on the injured leg if not
προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς,
is-pressed-down-besides the injured against the ground by the hand
ἅτε οὐχ ὑφεστεῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ
since not standing-under the joint under the body but to the
ὄπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον· εἰ γὰρ πειρήσαιτο καὶ ἐπ'
behind displaced at the hip if for he-should-try even for
ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος,
a-little on-the foot to-be-carried by-nothing other propped
ἐς τὸ ὀπίσω ἂν πέσοι· ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη,
to the back — he-would-fall the for inclination great — would-be
τῶν ἰσχίων ἐπὶ πουλὺ ἐς τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ
of-the hips to much to the-back projecting over the
ποδὸς τῆς βάσιος, καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης.
of-the-foot the base and of-the spine to the hips inclining

Ἄνευ μὲν οὖν ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι,
Without indeed then stick can to-walk the such
ἢν ἄλλως ἐθισθέωσιν· διὰ τοῦτο, ὅτι ἡ βάσις τοῦ
if otherwise they-be-accustomed because-of this that the base of-the
ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ᾽ οὐκ ἐς
foot at the original straight-line is but not to
τὸ ἔξω ἐκκεκλιμένη, διὰ τοῦτο οὐδὲ δέονται τῆς
the outer-side inclined because-of this not-even they-need the
ἀντικοντώσιος. Ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ
propping As-many-as however wish instead-of the of-the
μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν
thigh hold under the armpit the on the injured
σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι, ἢν μὲν
leg putting-under a-staff to-prop-against those if indeed
μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν
longer the staff they-should-put-under more-upright indeed
ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται·
they-will-walk with-the but foot against the ground not they-press
εἰ δ᾽ αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον
if but again they-wish to-press with-the foot shorter
μὲν τὸ ξύλον φορητέον, κατὰ δὲ τοὺς βουβῶνας
indeed the stick must-be-carried at but the groins
ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. Τῶν δὲ σαρκῶν
to-be-bent-besides — it-would-be-needful them Of-the and flesh
αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ
the wastings in proportion become also for-these as
πρόσθεν εἴρηται· τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ
before has-been-said for-the indeed for raised holding the
σκέλος καὶ μηδὲν ταλαιπωρέουσιν, τούτοισι καὶ μάλιστα
leg and nothing laboring for-these also most
μινύθουσιν· οἳ δ᾽ ἂν πλεῖστα χρέωνται τῇ ἐπιβάσει,
waste who but — most use the stepping

τούτοισιν ἥκιστα μινύθουσιν. Τὸ μέντοι ὑγιὲς σκέλος οὐκ
for-these least waste The however sound leg not
ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν
is-benefited but rather even more-unseemly becomes if
χρέωνται τῷ σιναρῷ σκέλεϊ ἐπὶ τὴν γῆν· ξυνυπουργέον
they-use the injured leg on the ground serving-together
γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἀπαναγκάζεται εἶναι, καὶ κατὰ
for with-that with-projecting-hip both is-forced to-be and at
τὴν ἰγνύην ξυγκάμπτειν· ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ
the knee-hollow to-bend if but not he-use-besides the injured
ἐπὶ τὴν γῆν, ἀλλὰ, μετέωρον ἔχων, σκίπωνι ἀντερείδηται,
on the ground but raised holding with-staff prop-himself
οὕτω δὲ καρτερὸν γίνεται τὸ ὑγιὲς σκέλος· ἔν τε γὰρ
so and strong becomes the sound leg in both for
τῇ φύσει διαιτᾶται, καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό.
the nature it-lives and the exercises strengthen it
Φαίη μὲν οὖν ἄν τις, ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι·
Would-say indeed then — someone outside medicine the such to-be
τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων
what for forsooth is-needful about the already incurable having-become
ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ
still to-understand-besides much but lacks so to-be of-the for
αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι· οὐ γὰρ οἷόν τε
same understanding also these-things to-understand not for possible —
ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. Δεῖ μὲν γὰρ ἐς τὰ
to-be-estranged from one-another It-is-needful indeed for for the
ἀκεστὰ μηχανάασθαι, ὅκως μὴ ἀνήκεστα ἔσται, ξυνιέντα
curable to-contrive that not incurable they-will-be understanding
ὅκη ἂν μάλιστα κωλυτέα ἐς τὸ ἀνήκεστον ἐλθεῖν· δεῖ
where — most to-be-prevented to the incurable to-go it-is-needful
δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάτην λυμαίνηται·
and the incurable-things to-understand so-that not in-vain he-do-harm

τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ, ἀπὸ τοῦ
the and predictions brilliant and competitive from the
διαγινώσκειν, ὅπη ἕκαστον, καὶ οἵως, καὶ ὁκότε τελευτήσει,
to-discern where each and how and when will-end
ἤν τε ἐς τὸ ἀκεστὸν τράπηται, ἤν τε ἐς τὸ ἀνήκεστον.
if both to the curable it-turn if both to the incurable
Ὁκόσοισι δ' ἂν ἐκ γενεῆς, ἢ καὶ ἄλλως πως ἐν αὐξήσει
For-as-many-as and — from birth or also otherwise somehow in growth
ἐοῦσιν, οὕτως ὀλίσθῃ τὸ ἄρθρον ὀπίσω, καὶ μὴ ἐμπέσῃ,
being so slip the joint backward and not fall-in
ἤν τε βίῃ ὀλίσθῃ, ἤν τε καὶ ὑπὸ νούσου (πολλὰ γὰρ
if both by-force it-slip if both also by disease many for
τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν· οἷαι δέ τινές
such dislocations occur in diseases what-sort and some
εἰσιν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον
are the diseases in which are-dislocated the such later
γεγράψεται), ἤν οὖν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ μὲν μηροῦ τὸ
will-be-written if then displaced not it-fall-in of-the indeed thigh the
ὀστέον βραχὺ γίνεται, κακοῦται δὲ καὶ πᾶν τὸ σκέλος, καὶ
bone short becomes is-damaged and also all the leg and
ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ διὰ τὸ
more-stunted becomes and more-fleshless by-much because-of the
μηδὲν προσχρέεσθαι αὐτῷ· κακοῦται γὰρ τούτοισι καὶ τὸ
nothing to-use-besides it is-damaged for in-these also the
κατὰ τὴν ἰγνύην ἄρθρον· τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται
at the knee-hollow joint the for sinews stretched become
διὰ τὰ πρόσθεν εἰρημένα· διὸ οὐ δύνανται τὸ κατὰ τὴν
because-of the before said-things wherefore not they-can the at the
ἰγνύην ἄρθρον ἐκτανύειν, οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ.
knee-hollow joint to-stretch-out in-whom — so hip be-dislocated

Ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν, πάντα τὰ ἐν τῷ σώματι
As for in summary to-say all the in the body
ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μέτρια καὶ
as-many-as for use have-come-to-be to-those-using indeed moderately and
γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν, ἐν ἧσιν ἕκαστα
exercising in the labors in which each
εἴθισται, οὕτω μὲν ὑγιεινὰ καὶ αὔξιμα καὶ εὔγηρα γίνεται·
is-accustomed so indeed healthy and growing and well-aging become
μὴ χρεομένοισι δὲ, ἀλλ' ἐλινύουσι νοσηρότερα γίνεται καὶ
not using and but resting more-diseased become and
ἀναυξέα καὶ ταχύγηρα. Ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ
stunted and quick-aging In and these not least the
ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι
joints this have-suffered and the sinews if not anyone them
χρέηται· κακοῦνται μὲν οὖν διὰ ταύτας τὰς προφάσιας
use are-damaged indeed then because-of these the causes
μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος, ἢ ἐν
more somewhat in this the way of-the slipping than in
τοῖσιν ἄλλοισιν· ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται, καὶ τῇ
the others whole for the leg stunted becomes both in-the
ἀπὸ τῶν ὀστέων φύσει, καὶ τῇ ἀπὸ τῶν σαρκῶν· οἱ οὖν
from the bones nature and in-the from the flesh the then
τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ ξυγκεκαμμένον
such when they-become-men raised and bent
τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται, καὶ τῷ
the leg they-have on and the other they-are-carried and on-the
ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν, ἑνὶ, οἱ δὲ, δυσίν.
stick propped the-ones indeed on-one the-others but on-two
59 Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ τοῦ μηροῦ
In-whom and — to the-front the head of-the thigh
ἐκπέσῃ, ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν
be-dislocated in-few and this happens these to-stretch-out indeed

τὸ σκέλος δύνανται τελείως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι
the leg can completely to-bend but least these
δύνανται τὰ κατὰ τὸν βουβῶνα· πονέουσι δὲ, καὶ ἢν κατὰ
can the at the groin suffer and also if at
τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. Μῆκος δὲ τοῦ
the knee-hollow they-be-forced to-bend Length and of-the
σκέλεος παραπλήσιον φαίνεται, κατὰ μὲν τὴν πτέρνην
leg similar appears at indeed the heel
καὶ πάνυ· ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν
even very end but the foot less somewhat to-stoop
ἐθέλει ἐς τοὔμπροσθεν· ὅλον δὲ τὸ σκέλος ἔχει τὴν
tends to the-front whole but the leg has the
ἰθυωρίην τὴν κατὰ φύσιν, καὶ οὔτε τῇ, οὔτε τῇ
straight-line the according-to nature and neither this-way nor that-way
ῥέπει. Ὀδυνῶνται δὲ αὐτίκα οὗτοι μάλιστα, καὶ οὖρον
inclines Are-in-pain and at-once these most and urine
ἴσχεται τὸ πρῶτον τούτοισι μᾶλλόν τι, ἢ τοῖσιν
is-retained the first-time for-these more somewhat than in-the
ἄλλοισιν ἐξαρθρήμασιν· ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ
other dislocations lies for the head of-the thigh
ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων. Καὶ κατὰ
nearest in-these to-the cords the critical And at
μὲν τὸν βουβῶνα ἐξογκέον τε καὶ κατατεταμένον τὸ
indeed the groin bulging both and stretched the
χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον, στολιδωδέστερον
region appears at but the buttock more-wrinkled
καὶ ἀσαρκότερον. Ταῦτα μὲν οὖν σημήϊά ἐστι τὰ
and more-fleshless These-things indeed then signs are the
εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.
said of-whom — so be-dislocated the thigh

60 Ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον
For-as-many-as indeed then — already grown-men this the joint
ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι, ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη
dislocated not fall-in these when for-them the pain
παύσηται καὶ τὸ ἄρθρον ἐθισθῇ ἐν τῷ χωρίῳ τούτῳ
cease and the joint be-accustomed in this place this
στροφᾶσθαι, ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν εὐθὺς
to-turn where it-was-dislocated these can almost at-once
ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες, ἐπὶ
upright to-walk without stick and very however straight on
δὲ τὸ σιναρὸν, ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὔκαμπτοι
and the injured since neither at the groin easily-bent
ἐόντες, οὔτε κατὰ τὴν ἰγνύην· διὰ οὖν τοῦ βουβῶνος
being nor at the knee-hollow because-of then of-the groin
τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλεϊ ἐν τῇ ὁδοιπορίῃ
the stiffness straighter whole the leg in the walking
χρέονται, ἢ ὅτε ὑγίαινον. Καὶ σύρουσι δὲ ἐνίοτε πρὸς
they-use than when they-were-healthy And they-drag and sometimes against
τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ
the ground the foot since not easily bending the
ἄνω ἄρθρα, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί· οὐδὲν γὰρ
upper joints and since with-whole stepping the foot nothing for
ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν, ἢ τῷ ἔμπροσθεν· εἰ
less on-the heel these step than on-the front if
δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται
but at-least they-could greatly to-step-forward even very heel-walkers
ἦσαν· καὶ γὰρ οἱ ὑγιαίνοντες ὅσῳ ἂν μέζον
they-were and for the healthy by-as-much-as — longer
προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ μᾶλλον πτερνοβάται
stepping-forward they-walk by-so-much more heel-walkers
εἰσὶ, τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον.
are placing the foot raising but the opposite

Ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, καὶ ἔτι μᾶλλον
For-as-many-as and indeed so it-has-been-dislocated and still more
τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τῷ ἔμπροσθεν· τὸ
on-the heel they-press-on than on-the front the
γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ἔῃ τὸ ἄλλο
for front of-the foot when stretched be the other
σκέλος, οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπύλλεσθαι,
leg not equally can to the forward to-curve
ὥσπερ ὅταν ξυγκεκαμμένον ἔῃ τὸ σκέλος· οὔτ' αὖ
as when bent be the leg nor again
σιμοῦσθαι δύναται ὁ ποὺς, ξυγκεκαμμένου τοῦ σκέλεος,
to-be-flexed-upward can the foot bent the leg
ὡς ὅταν ἐκτεταμένον ἔῃ τὸ σκέλος. Ὑγιαίνουσά τε οὖν
as when stretched be the leg Being-healthy both then
ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται· ὅταν δὲ ἐκπεσὸν
the nature so is-formed as has-been-said when but dislocated
μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν, ὡς εἴρηται,
not fall-in the joint so they-walk as has-been-said
διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας· ἀσαρκότερον
because-of the causes these the said more-fleshless
μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ
however the leg than-the other becomes at both the
πυγαῖον, κατά τε τὴν γαστροκνημίην, καὶ κατὰ τὴν
buttock at both the calf and at the
ὄπισθεν ἴξιν. Οἷσι δ' ἂν νηπίοισιν ἔτι ἐοῦσι τὸ ἄρθρον
back line In-whom but — infants still being the joint
οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενεῆς οὕτω
so slipping not fall-in or also from birth so
γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι
it-happen also for-these the of-the thigh bone more somewhat

μινύθει, ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός· ἥκιστα μὴν
wastes than the of-the leg and the of-the foot least however
ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται.
in this the way of-the slipping the thigh is-diminished
Μινύθουσι μέντοι αἱ σάρκες πάντη, μάλιστα δὲ κατὰ τὴν
Waste however the flesh everywhere most and at the
ὄπισθεν ἴξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. Ὅσοι
back line as already also before has-been-said As-many-as
μὲν οὖν ἂν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι μὲν δύνανται
indeed then — be-nursed correctly these indeed can
προσχρέεσθαι τῷ σκέλεϊ αὐξανόμενοι, βραχυτέρῳ μέν
to-use-besides the leg growing shorter indeed
τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ
somewhat than-the other being nevertheless but propped with-stick on
ταῦτα, ᾗ τὸ σιναρὸν σκέλος· οὐ γὰρ κάρτα δύνανται
this-side where the injured leg not for very they-can
ἄνευ τῆς πτέρνης τῷ στήθεϊ τοῦ ποδὸς χρέεσθαι,
without the heel with-the ball of-the foot to-use
ἐπικαθιέντες ὥσπερ ἐν ἑτέροισι χωλεύμασιν ἔνιοι δύνανται·
letting-down as in other lamenesses some can
αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον·
cause and of-the not to-be-able the a-little before said
διὰ οὖν τοῦτο προσδέονται ξύλου. Ὅσοι δ' ἂν
because-of then this they-need stick As-many-as but —
καταμεληθέωσι καὶ μηδὲν χρέωνται ἐπὶ τὴν γῆν τῷ
be-neglected and not-at-all use on the ground the
σκέλεϊ, ἀλλὰ μετέωρον ἔχωσι, τούτοισι μινύθει μὲν τὰ
leg but raised hold for-these waste indeed the
ὀστέα ἐς αὔξησιν μᾶλλον, ἢ τοῖσι χρεομένοισιν· μινύθουσι
bones in growth more than in-those using waste
δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον, ἢ τοῖσι χρεομένοισιν·
and also the flesh much more than in-those using

κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ εὐθὺ πηροῦται τούτοισι τὸ
at and the joints to the straight is-maimed for-these the
σκέλος μᾶλλόν τι, ἢ οἷσιν ἂν ἄλλως ἐκπεπτώκῃ.
leg more somewhat than in-whom — otherwise it-be-dislocated

XV · CLUBFOOT AND COMPOUND DISLOCATIONS

Joints slip more or less, and the larger slips are harder to reduce and leave worse damage. Clubfoot is mostly curable if treated early: the bones are pushed into line by hand, bandaged with resined cerate, and fitted with a leather or lead sole; it needs no cutting or cautery, only time. Leg bones dislocated at the ankle through a wound must not be put back: those reduced die of spasm within seven days, while those left alone mostly survive, lame.

Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ 61
As indeed then in summary to-be-said the joints the
ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν
dislocated and the slipping unequally they themselves
ἐκπίπτει καὶ ὀλισθάνει, ἄλλοτε μὲν πουλὺ πλεῖον, ἄλλοτε
are-dislocated and slip at-times indeed much more at-times
δὲ πολὺ ἔλασσον· καὶ οἷσι μὲν ἂν πολὺ πλεῖον ὀλίσθῃ
and much less and in-whom indeed — much more it-slip
ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστὶ, καὶ ἢν
or be-dislocated harder to-reduce on-the whole it-is and if
μὴ ἐμβιβασθῇ, μέζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ
not it-be-put-back greater and more-conspicuous the maimings and
κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ
damages have the such both of-bones and of-flesh and
σχημάτων· ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλίσθῃ, ῥηΐδιον
of-postures when but less it-be-dislocated and slip easy
μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ἑτέρων γίνεται, ἢν δὲ
indeed to-reduce the such than-the others becomes if but

καταπορηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι
it-be-despaired-of or be-neglected to-fall-in smaller and more-harmless
αἱ πηρώσιες γίνονται τούτοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν
the maimings become for-these than in-whom a-little before
εἴρηται. Τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει
has-been-said The indeed then other joints also very much differ
ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μεῖζον τὸ ὀλίσθημα
in the at-times indeed less at-times and greater the slipping
ποιέεσθαι· μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα
to-make of-thigh but and of-upper-arm heads most-similarly
ὀλισθάνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη· ἅτε γὰρ στρογγύλαι μὲν
slip it itself each since for round indeed
αἱ κεφαλαὶ ἐοῦσαι, ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν
the heads being simple the roundness and bald
ἔχουσι, κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δεχόμεναι τὰς
have circular and the cavities being the receiving the
κεφαλὰς, ἁρμόζουσι δὲ τῇσι κεφαλῇσιν· διὰ τοῦτο οὐκ
heads they-fit and with-the heads because-of this not
ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· ὀλισθάνοι γὰρ
it-is for-them the half to-be-displaced of-the joint would-slip for
ἂν διὰ τὴν περιφερείην, ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ ἔσω.
— because-of the roundness either to the outer-side or to the inner-side
Περὶ οὖ οὖν ὁ λόγος, ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ
About which then the account they-are-dislocated completely already since
ἄλλως γε οὐκ ἐκπίπτουσιν· ὅμως δὲ καὶ ταῦτα ὁτὲ
otherwise at-least not they-are-dislocated nevertheless but also these at-times
μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον·
indeed more jump-away from the nature at-times and less
μᾶλλον δέ τι μηρὸς τοῦτο βραχίονος πέπονθεν.
more and somewhat thigh this than-upper-arm has-suffered

Ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γενομένων ὀλισθημάτων, ἢν 62
Since some also of-the from birth arisen slippings if
μικρὸν ὀλίσθῃ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι, καὶ μάλιστα
little it-slip possible — into the nature to-be-brought and most
τὰ παρὰ τοῦ ποδὸς ἄρθρα. Ὁκόσοι ἐκ γενεῆς κυλλοὶ
the beside the foot joints As-many-as from birth club-footed
γίνονται, τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ
become the most of-these curable are if not very
μεγάλη ἡ ἔκκλισις ἔῃ, ἢ καὶ προαυξέων γεγονότων ἤδη
great the inclination be or also grown-up having-become already
τῶν παιδίων ξυμβῇ. Ἄριστον μὲν οὖν ὡς τάχιστα
the children it-happen Best indeed then as quickly-as-possible
ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν
to-treat the such before very great the deficiency of-the
ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην
bones of-the in the foot to-become before both very great
τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι.
the deficiency of-the flesh of-the at the leg to-be
Τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες, τὰ
Manner indeed then of-club-footedness not one but more the
πλεῖστα μὴν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι᾽
most however not having-been-put-out altogether but through
ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα.
habit of-posture in some holding of-the foot club-footed
Προσέχειν δὲ καὶ ἐν τῇ ἰητρείῃ τοισίδε χρή· ἀπωθέειν
To-attend and also in the treatment to-these one-must to-push-away
μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον,
indeed and to-set-straight of-the leg the at the ankle bone
τὸ ἔξωθεν, ἐς τὸ ἔσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ ἔξω μέρος
the outer to the inner part to-counter-push and to the outer part
τὸ τῆς πτέρνης τὸ κατὰ τὴν ἴξιν, ὅκως ἀλλήλοις ἀπαντήσῃ
the of-the heel the at the line so-that one-another meet

τὰ ὀστέα τὰ ἐξίσχοντα κατὰ μέσον τε καὶ πλάγιον τὸν
the bones the projecting at middle both and side the
πόδα· τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ
foot the and again toes all-together with the great
δακτύλῳ ἐς τὸ εἴσω μέρος ἐγκλίνειν καὶ περιαναγκάζειν
toe to the inner part to-incline and to-force-round
οὕτως· ἐπιδεῖν δὲ κηρωτῇ ἐῤῥητινωμένῃ εὖ, καὶ σπλήνεσι,
so to-bandage and with-cerate resined well and compresses
καὶ ὀθονίοισι μαλθακοῖσι, μὴ ὀλίγοισι, μηδὲ ἄγαν πιέζοντα·
and linen-strips soft not few nor too pressing
οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ
so and the turns to-make of-the bandaging as
καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ
also with-the hands the setting-straight was of-the foot so-that the
ποὺς ὀλίγῳ μᾶλλον ἐς τὸ βλαισὸν ῥέπων φαίνηται.
foot a-little more to the turned-out inclining appear
Ἴχνος δέ τι χρὴ ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν
Sole and some one-must to-make either of-leather not too
σκληροῦ, ἢ μολύβδινον, προσεπιδεῖν δὲ, μὴ πρὸς τὸν χρῶτα
hard or of-lead to-bandage-besides and not against the skin
τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσιν ὑστάτοισιν ὀθονίοισι μέλλῃς
placing but when already with-the last linen-strips you-be-about
ἐπιδέειν· ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, ἑνός τινος τῶν
to-bandage when and already bandaged he-be of-one some of-the
ὀθονίων χρὴ, οἷσιν ἐπιδέεται, τὴν ἀρχὴν προσράψαι πρὸς
linen-strips one-must with-which he-is-bandaged the end to-sew-on to
τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ
the lower of-the foot bandages at the line of-the little
δακτύλου· ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως ἂν δοκέῃ
toe then to the upper-part stretching as — it-seem
μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης,
moderately to-be to-put-round above the calf

ὡς μόνιμον ἔῃ, κατατεταγμένον οὕτως. Ἁπλῷ δὲ
so-that stable it-be arranged so In-simple and
λόγῳ, ὥσπερ κηροπλαστέοντα, χρὴ ἐς τὴν φύσιν τὴν
account like modeling-in-wax one-must into the nature the
δικαίην ἄγειν καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα
right to-bring both the inclined-parts and the contracted-parts
παρὰ τὴν φύσιν, καὶ τῇσι χερσὶν οὕτω διορθοῦντα,
contrary-to the nature and with-the hands so setting-straight
καὶ τῇ ἐπιδέσει ὡσαύτως, προσάγειν δὲ οὐ βιαίως,
and with-the bandaging likewise to-bring and not forcibly
ἀλλὰ παρηγορικῶς· προσράπτειν δὲ τὰ ὀθόνια, ὅκως ἂν
but soothingly to-sew-on and the linen-strips as —
ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι, ἄλλα γὰρ ἄλλης τῶν
be-of-advantage the suspensions to-make other for other of-the
χωλωμάτων δέεται ἀναλήψιος. Ὑποδημάτιον δὲ ποιέεσθαι
lamenesses needs suspension A-little-shoe and to-make
μολύβδινον, ἔξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένον, οἷον αἱ
of-lead outside the bandaging bandaged-on such-as the
χῖαι κρηπῖδες ῥυθμὸν εἶχον· ἀλλ᾽ οὐδὲν αὐτοῦ δεῖ, ἦν
Chian boots form had but nothing of-it it-is-needful if
τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν
anyone correctly indeed with-the hands set-straight correctly and with-the
ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο.
linen-strips bandage correctly and also the suspensions make
Ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος
The indeed then treatment this and neither of-incision nor of-cautery
οὐδὲν δεῖ, οὔτ᾽ ἄλλης ποικιλίης· θᾶσσον γὰρ ἐνακούει τὰ
nothing it-needs nor of-other elaboration quicker for obey the
τοιαῦτα τῆς ἰητρείης, ἢ ὡς ἄν τις οἴοιτο. Προσνικᾷν
such the treatment than as — anyone would-think To-win-besides
μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν
however one-must with-the time until — grow the body in

τοῖσι δικαίοισι σχήμασιν. Ὅταν δὲ ἐς ὑποδήματος λόγον
the right postures When and to of-shoe account
ἴῃ, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπάτιδες καλεόμεναι·
it-come boots most-suitable the mud-treaders called
τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς,
this for of-shoes least is-overpowered by the foot
ἀλλὰ κρατέει μᾶλλον· ἐπιτήδειος δὲ καὶ ὁ κρητικὸς
but overpowers more suitable and also the Cretan
τρόπος τῶν ὑποδημάτων.
kind of-the shoes

63 Ὅσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα καὶ ἕλκος
For-as-many-as and — of-leg bones dislocated and wound
ποιήσαντα τελείως ἐξίσχῃ κατὰ τὰ παρὰ τὸν πόδα ἄρθρα,
having-made completely stick-out at the beside the foot joints
εἴτε ἔσω ῥέψαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα
whether inward inclining or indeed also outward the such
μὴ ἐμβάλλειν, ἀλλ' ἐᾷν τὸν βουλόμενον τῶν ἰητρῶν
not to-reduce but to-let the wishing of-the physicians
ἐμβάλλειν. Σαφέως γὰρ εἰδέναι χρὴ, ὅτι ἀποθανεῖται,
to-reduce Clearly for to-know one-must that will-die
ᾧ ἂν ἐμβληθέντα ἐμμείνῃ, καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος
in-whom — reduced they-remain and the life and few-days
τουτέοισι γενήσεται· ὀλίγοι γὰρ ἂν αὐτέων τὰς ἑπτὰ
for-these will-be few for — of-them the seven
ἡμέρας ὑπερβάλλοιεν· σπασμὸς γὰρ ὁ κτείνων ἐστίν·
days would-pass-beyond spasm for the killing is
ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται τὴν κνήμην καὶ τὸν
but also to-become-gangrenous reaches the leg and the
πόδα. Ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα· καὶ
foot These-things surely to-know one-must so going-to-be and
οὐκ ἄν μοι δοκέει οὐδὲ ἑλλέβορος ὠφελήσειν, αὐθημερόν
not — to-me it-seems not-even hellebore to-benefit the-same-day

τε δοθεὶς, καὶ αὖθις πινόμενος, ἄγχιστα δὲ, εἴπερ τι
both given and again drunk nearest but if-indeed anything
τοιοῦτον· οὐ μέντοι γε οὐδὲ τοῦτο δοκέω. Ἢν δὲ μὴ
such not however at-least not-even this I-think If but not
ἐμβληθῇ, μηδ' ἀπ' ἀρχῆς μηδεὶς πειρηθῇ ἐμβάλλειν,
it-be-reduced nor from the-beginning anyone try to-reduce
περιγίνονται οἱ πλεῖστοι αὐτέων. Χρὴ δὲ ἡρμόσθαι
survive the most of-them One-must and to-be-fitted
μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει,
indeed the leg and the foot so as he wishes
μοῦνον δὲ, μὴ ἀπῃωρημένα, μηδὲ κινεύμενα ἔστω· ἰητρεύειν
only but not hanging-free nor moving let-be to-treat
δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ
and with-pitch-plaster and compresses wine-soaked few not
ἄγαν ψυχροῖσι, ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν
too cold cold for in the such spasm
ἐπικαλέεται· ἐπιτήδεια δὲ καὶ φύλλα σεύτλων, ἢ βηχίου,
calls-forth suitable and also leaves of-beet or of-coltsfoot
ἢ ἄλλου τινὸς τῶν τοιουτέων, ἐν οἴνῳ μέλανι αὐστηρῷ
or of-other some of-the such in wine black astringent
ἡμίεφθα ἐπιτιθέντα ἰητρεύειν ἐπί τε τὸ ἕλκος, ἐπί τε τὰ
half-boiled applying to-treat on both the wound on and the
περιέχοντα, κηρωτῇ δὲ χλιερῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος· ἢν
surrounding-parts with-cerate and lukewarm to-anoint itself the wound if
δὲ ἡ ὥρη χειμερινὴ ἔῃ, καὶ ἔρια ῥυπαρὰ οἴνῳ καὶ ἐλαίῳ
but the season wintry be also wools greasy with-wine and oil
καταῤῥαίνοντα χλιεροῖσιν ἄνωθεν ἐπιτέγγειν· καταδεῖν δὲ
sprinkling lukewarm from-above to-moisten to-bind but
μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν· εὖ γὰρ εἰδέναι χρὴ,
nothing with-nothing nor to-plaster well for to-know one-must
ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισίν ἐστιν.
that pressure and weight-bearing every evil for-the such is

Ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα,
Suitable and for the such also of-the blood-dressings some
ὅσοισιν αὐτῶν ξυμφέρει· ἔρια δὲ ἐπιτιθέντα, οἴνῳ
as-many-as of-them are-of-advantage wools and applying with-wine
ἐπιτέγγοντα, πουλὺν χρόνον ἐᾷν· τὰ δὲ ὀλιγημερώτατα
moistening much time to-leave the and shortest-lasting
τῶν ἐναίμων, καὶ ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ
of-the blood-dressings and as-many-as with-resin are-taken-up not
ὁμοίως ἐπιτήδεια ἐκείνοισίν ἐστιν· χρονίη γὰρ ἡ κάθαρσις
equally suitable for-those are long for the cleansing
τῶν ἑλκέων γίνεται τούτων· πουλὺν γὰρ χρόνον πλαδαρὴ
of-the wounds becomes of-these much for time moist
γίνεται· τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. Εἰδέναι μὲν δή
it-becomes some and of-these good to-bandage To-know indeed indeed
που σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς
surely clearly one-must that necessity the man lame shamefully
γενέσθαι· καὶ γὰρ ὁ ποὺς ἐς τὸ ἄνω ἀνέσπασται τῶν
to-become and for the foot to the upper-part is-drawn-up of-the
τοιούτων, καὶ τὰ ὀστέα τὰ διολισθήσαντα ἔξω ἐξέχοντα
such and the bones the having-slipped-through outward projecting
φαίνεται· οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν
appear neither for are-bared of-the such bones none
ὡς ἐπὶ τὸ πουλὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται,
as for the most-part if not over short some nor come-away
ἀλλὰ περιωτειλοῦται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι, καὶ
but scar-over-around with-thin scars and weak and
ταῦτα, ἢν ἀτρεμίζωσι πουλὺν χρόνον· ἢν δὲ μὴ, ἑλκύδριον
these if they-keep-still much time if but not a-small-ulcer
ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. Ὅμως δὲ, περὶ οὗ
to-be-left-behind danger incurable Nevertheless but about which

ὁ λόγος, οὕτω μὲν ἰητρευόμενοι σώζονται, ἐμβληθέντος
the account so indeed treated are-saved reduced
δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσιν.
but the joint and remaining they-die

XVI · COMPOUND DISLOCATIONS, AMPUTATIONS, AND GANGRENE

The same holds at the wrist, the knee, and the elbow, worse the higher the joint: reduced, they bring death; left alone, hope of safety. Finger and toe joints may be reduced with the little lever on the first or second day, else after the tenth, with a warning of spasm; if spasm comes, the joint is put out again. Clean amputations at fingers, ankles, or wrists are mostly harmless. Parts mortified by tight binding fall away, removed at the joint once painless; a thigh bone came away on the eightieth day.

Ωὐτὸς δὲ λόγος οὗτος, ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ 64
The-same and account this if also the of-the forearm bones the
παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ,
beside the wrist of-the hand wound having-made stick-out
ἤν τε ἐς τὸ ἔσω μέρος τῆς χειρὸς, ἤν τε ἐς τὸ
if both to the inner part of-the hand if both to the
ἔξω. Σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτι ἀποθανεῖται ἐν
outer-side Clearly for to-know one-must that he-will-die in
ὀλίγῃσιν ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵῳπερ καὶ πρόσθεν
few days by-such death such-as also before
εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ. Οἷσι
has-been-said in-whom — reduced the bones remain In-whom
δ' ἂν μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτοι
but — not it-be-reduced nor be-attempted to-be-reduced these
πολὺ πλείονες περιγίνονται· ἰητρείη δὲ τοιαύτη τοῖσι
much more survive treatment and such for-the

τοιουτέοισιν ἐπιτηδείη, οἵηπερ εἴρηται· τὸ δὲ σχῆμα
such suitable such-as has-been-said the but posture
αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι, καὶ τοὺς δακτύλους
ugly of-the lameness necessity to-be and the fingers
τῆς χειρὸς ἀσθενέας καὶ ἀχρηΐους· ἢν μὲν γὰρ ἐς τὸ ἔσω
of-the hand weak and useless if indeed for to the inner
μέρος ὀλίσθῃ τὰ ὀστέα, ξυγκάμπτειν οὐ δύνανται τοὺς
part slip the bones to-bend not they-can the
δακτύλους· ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύνανται.
fingers if but to the outer part to-stretch-out not they-can
65 Ὅσοισι δ' ἂν κνήμης ὀστέον, ἕλκος ποιησάμενον παρὰ
For-as-many-as and — of-leg bone wound having-made beside
τὸ γόνυ, ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος, ἤν τε ἐς
the knee outward stick-out if both to the outer part if both to
τὸ ἔσω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος
the inner for-these if indeed anyone reduce still readier
ὁ θάνατός ἐστιν, ἤπερ τοῖσιν ἑτέροισι, καίπερ κἀκείνοισιν
the death is than for-the others although also-for-those
ἕτοιμος ἐών. Ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν
ready being If but not reducing you-treat hopes indeed
σωτηρίης οὕτω μόνως εἰσίν. Κινδυνωδέστερα δὲ ταῦτα
of-safety so only are More-dangerous and these
τῶν ἑτέρων γίνεται, ὅσῳ ἂν ἀνωτέρω, καὶ ὅσῳ
than-the others become by-as-much-as — higher and by-as-much-as
ἂν ἰσχυρότερα ἔῃ, καὶ ἀπὸ ἰσχυροτέρων ὠλισθήκῃ. Ἢν
— stronger they-be and from stronger it-have-slipped If
δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γόνατος ἕλκος
but the bone the of-the thigh the at the knee wound
ποιησάμενον ἐξολίσθῃ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν, ἔτι
having-made slip-out reduced indeed and remaining still
βιαιότερον καὶ θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν
more-violent and quicker the death will-make than-the before

εἰρημένων· μὴ ἐμβληθὲν δὲ, πουλὺ κινδυνωδέστερον, ἢ
said not reduced but much more-dangerous than
τὰ πρόσθεν· ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης.
the before nevertheless but only hope this of-safety
Ωὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων, 66
The-same and account also about the at the elbow joints
καὶ περὶ τῶν τοῦ πήχεος καὶ βραχίονος· ἃ γὰρ ἂν
and about the of-the forearm and upper-arm which for —
τούτων ἐξαρθρήσαντα ἐξίσχῃ ἕλκος ποιησάμενα, πάντα,
of-these dislocated stick-out wound having-made all
ἢν ἐμβληθῇ, θάνατον φέρει, μὴ ἐμβληθέντα δὲ, ἐλπίδα
if it-be-reduced death bring not reduced but hope
σωτηρίης· χώλωσις δὲ ἑτοίμη τοῖσι περιγενομένοισιν.
of-safety lameness but ready for-those surviving
Θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισιν ἐστι τὰ
More-deadly and for-those being-reduced are the
ἀνωτέρω τῶν ἄρθρων, ἀτὰρ καὶ τοῖσι μὴ ἐμβαλλομένοισι
higher of-the joints but also for-those not being-reduced
κινδυνωδέστερα αὐτὰ ταῦτα. Εἰ δέ τινι τὰ ἀνώτατα
more-dangerous themselves these If but for-someone the highest
ἄρθρα ἐξαρθρήσαντα, ἕλκος ποιήσαντα, ἐξίσχοι, ταῦτα
joints dislocated wound having-made should-stick-out these
ἂν ἔτι καὶ ἐμβαλλόμενα ταχυθανατώτατα εἴη, καὶ μὴ
— still even being-reduced quickest-killing would-be and not
ἐμβαλλόμενα κινδυνωδέστατα· ἰητρείη δὲ ἤδη εἴρηται,
being-reduced most-dangerous treatment and already has-been-said
οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι τῶν τοιουτέων.
what-sort some to-me seems most-suitable to-be of-the such
Ὅσοισι δὲ ἄρθρα δακτύλων, ἢ ποδὸς ἢ χειρὸς, 67
For-as-many-as and joints of-fingers either of-foot or of-hand
ἐξαρθρήσαντα, ἕλκος ποιήσαντα, ἐξέσχε, μὴ κατεηγότος
dislocated wound having-made stuck-out not broken

τοῦ ὀστέου, ἀλλὰ κατ᾽ αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος,
the bone but at the-very the junction torn-off
τούτοισιν ἢν ἐμβληθέντα ἐμμείνῃ, ἔνι μέν τις κίνδυνος
for-these if reduced they-remain there-is indeed some danger
σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται· ὅμως δέ τι
of-spasm if not properly they-be-treated nevertheless but something
ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ
worth to-reduce having-foretold that guard much and
μελέτης δέεται. Ἐμβάλλειν μέντοι ῥήιστον καὶ δυνατώτατον
care it-needs To-reduce however easiest and most-possible
καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν
and most-skillful is with-the little-lever as also before
εἴρηται ἐν τοῖσι καταγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν·
has-been-said in the broken and sticking-out bones
ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ, καὶ κατακεῖσθαι,
then to-keep-still as most one-must and to-lie-down
καὶ ὀλιγοσιτέειν· ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω
and to-eat-little better and also to-purge upward
κούφῳ τινὶ φαρμάκῳ· τὸ δὲ ἕλκος, ἰητρεύειν μὲν ἢ
with-light some drug the and wound to-treat indeed either
ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν, ἢ πολυοφθάλμοισιν, ἢ
with-blood-dressings the moistened or with-many-eyed or
οἷσι κεφαλῆς ὀστέα κατεηγότα ἰητρεύεται, κατάψυχρον
with-which of-head bones broken are-treated very-cold
δὲ κάρτα μηδὲν προσφέρειν. Ἥκιστα μὲν οὖν τὰ
and very nothing to-apply Least indeed then the
πρῶτα ἄρθρα κινδυνώδεά ἐστι, τὰ δὲ ἔτι ἀνωτέρω
first joints dangerous are the but still higher
κινδυνωδέστερα. Ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν, ἢ τῇ
more-dangerous To-reduce and one-must the-same-day or on-the

ὑστεραίῃ, τριταίῳ δὲ ἢ τεταρταίῳ ἥκιστα· τεταρταῖα γὰρ
next-day on-the-third but or on-the-fourth least on-the-fourth for
ἐόντα, ἐπισημαίνει τῇσι παλιγκοτίῃσι μάλιστα.
being shows-signs with-the relapses most
Οἷσιν ἂν οὖν μὴ αὐτίκα ἐγγένηται ἐμβάλλειν, ὑπερβαίνειν
In-whom — then not at-once it-be-possible to-reduce to-pass-over
χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας· ὅ τι γὰρ ἂν ἔσω
one-must these the said days what — for — within
δέκα ἡμερέων ἐμβάλλῃς, σπᾷν καταληπτέον. Ἢν δὲ ἄρα
ten days you-reduce to-be-convulsed must-be-expected If but then
ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐκβάλλειν τὸ ἄρθρον δεῖ
reduced spasm supervene to-put-out the joint must
ταχὺ, καὶ θερμῷ τέγγειν ὡς πλειστάκις, καὶ τὸ ὅλον σῶμα
quickly and with-hot to-wet as most-often and the whole body
θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν, καὶ μάλιστα
warmly and oiled and softly to-keep and most
κατὰ τὰ ἄρθρα· κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν
at the joints to-be-bent and more than to-be-stretched all
τὸ σῶμα χρή. Προσδέχεσθαι μέντοι χρὴ κατὰ τοὺς
the body one-must To-expect however one-must at the
δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι·
fingers the joints the reduced causing-abscession to-be
τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς
the for most so become if even any inflammation
ὑπογένηται, ὡς, εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν
form-underneath so-that if not through ignorance of-the laymen in
αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ'
blame was-going-to the physician to-be nothing — at-all not-even
ἐμβάλλειν ἔδει. Τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα
to-reduce was-needful The indeed then at the joints bones
ἐξίσχοντα ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν, ὡς εἴρηται.
sticking-out being-reduced so dangerous are as has-been-said

68 Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους
As-many-as and at the joints the at the fingers
ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν,
are-cut-off completely these harmless the most are
εἰ μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη·
if not someone in the-very the wounding having-fainted be-harmed
καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. Ἀτὰρ
and treatment ordinary will-suffice of-the such wounds But
καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ᾽ ἄλλην τινὰ
also as-many-as not at the joints but at other some
ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ,
line of-the bones are-cut-off also these harmless are
καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων· καὶ ὅσα κατὰ τοὺς
and still easier-to-heal than-the others and as-many-as at the
δακτύλους ὀστέα κατεηγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον,
fingers bones broken stick-out not at the joint
καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. Ἀποκόψιες δὲ τέλειαι
also these harmless are being-reduced Cuttings-off and complete
ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ, καὶ ἐν χειρὶ, καὶ
of-bones also at the joints both in foot and in hand and
ἐν κνήμῃ, τοῖσι παρὰ τὰ σφυρὰ, καὶ ἐν πήχεϊ, τοῖσι παρὰ
in leg for-the beside the ankles and in forearm for-the beside
τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα
the wrists for-the most being-cut-off harmless
γίνεται, ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ, ἢ
become as-many-as — not at-once fainting overturn or
τεταρταίοισιν ἐοῦσι πυρετὸς ξυνεχὴς ἐπιγένηται.
on-the-fourth-day being fever continuous supervene

69 Ἀποσφακελίσιες μέντοι σαρκῶν, καὶ ἐν τρώμασιν αἱμορρόοισι
Mortifications however of-flesh both in wounds bleeding
γενομένοισιν ἀποσφιγχθεῖσιν ἰσχυρῶς, καὶ ἐν ὀστέων
having-occurred tightly-bound strongly and in of-bones

κατήγμασι πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ, καὶ ἐν ἄλλοισι
fractures pressed more than-the right and in other
δεσμοῖσι βιαίοισιν ἀποληφθέντα ἀποπίπτει πολλοῖσι, καὶ οἱ
bonds violent intercepted fall-off in-many and the
πολλοὶ περιγίνονται τῶν τοιούτων, καὶ οἷσι μηροῦ μέρος
many survive of-the such also in-whom of-thigh part
τι ἀποπίπτει, καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου, καὶ οἷσι
some falls-off both of-the flesh and of-the bone and in-whom
βραχίονος, ἧσσον δέ· πήχεός τε καὶ κνήμης ἀποπεσούσης,
of-upper-arm less but of-forearm both and of-leg having-fallen-off
καὶ ἔτι εὐφόρως περιγίνονται. Οἷσι μὲν οὖν, κατεαγέντων
and still easily survive In-whom indeed then broken
τῶν ὀστέων, ἀποσφίγξιες αὐτίκα ἐγένοντο καὶ μελασμοὶ,
the bones tight-bindings at-once arose and blackenings
τούτοισι μὲν ταχεῖαι αἱ περιῤῥήξιες γίνονται τοῦ σώματος,
for-these indeed quick the breakings-around become of-the body
καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει, ἤδη τῶν ὀστέων
and the falling-off-parts quickly fall-off already the bones
προενδεδωκότων· οἷσι δὲ, ὑγιέων ἐόντων τῶν ὀστέων,
having-given-way-before in-whom but sound being the bones
οἱ μελασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι
the blackenings arise the indeed flesh quickly die
καὶ τούτοισι, τὰ δὲ ὀστέα βραδέως ἀφίσταται, ᾗ ἂν τὰ
also in-these the but bones slowly come-away where — the
ὅρια τοῦ μελασμοῦ γένηται καὶ ἡ ψίλωσις τοῦ ὀστέου.
boundaries of-the blackening be and the baring of-the bone
Χρὴ δὲ, ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων
One-must and as-many-as — lower of-the body than-the boundaries
τοῦ μελασμοῦ ἔῃ, ταῦτα, ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ
of-the blackening be these when already altogether it-has-died and
ἀναλγέα ἔῃ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμηθεόμενον
painless be to-remove at the joint taking-care

ὅκως μὴ τιτρώσκῃ· ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος, καὶ
that not he-wound if for he-feel-pain being-cut-off and
μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ, ᾗ ἀποτέμνεται,
not-yet happen the body dead here where it-is-cut-off
κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι· αἱ δὲ
very danger from the pain to-faint the and
τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν.
such faintings many immediately already destroyed
Μηροῦ μὲν οὖν ὀστέον, ψιλωθὲν ἐκ τοιούτου τρόπου,
Of-thigh indeed then bone bared from such way
ὀγδοηκοσταῖον εἶδον ἐγὼ ἀποστάν· ἡ μέντοι κνήμη
on-the-eightieth-day saw I come-away the however leg
τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίῃ,
for-this the man at the knee was-removed on-the-twentieth-day
ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω· οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ
it-seemed and to-me also nearer not for at-once but toward
τὸ προμηθέστερον ἔδοξέ μοί τι ποιέειν. Κνήμης
the more-cautious it-seemed to-me somewhat to-do Of-leg
δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην
and bones from such blackening very at middle
τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσεν, ὅσα
the leg being on-the-sixtieth-day for-me fell-off as-many-as
ἐψιλώθη αὐτέων. Διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη
were-bared of-them Would-differ indeed for — something also treatment
ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα
from-treatment in the quicker both and slower the bones
ψιλούμενα ἀποπίπτειν· διενέγκοι δ' ἄν τι καὶ πίεξις
being-bared to-fall-off would-differ and — something also pressure
πιέξιος, καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον,
from-pressure both toward the stronger both and weaker
καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα
and toward the quicker both and slower having-blackened

ἀποθανεῖν τὰ νεῦρα καὶ τὰς σάρκας καὶ τὰς ἀρτηρίας
to-die the sinews and the flesh and the arteries
καὶ τὰς φλέβας· ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντων
and the veins since as-many-as not strongly intercepted
θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέων
die some of-the such not reach to of-bones
ψιλώματα, ἀλλ᾽ ἐπιπολαιότερα ἐκπίπτει· ἔνια δὲ οὐδὲ ἐς
barings but more-superficial-parts fall-off some but not-even to
νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει.
of-sinews barings reach but more-superficial-parts fall-off
Διὰ οὖν ταύτας τὰς εἰρημένας προφάσιας οὐκ ἐστὶν
Because-of then these the said causes not it-is
ἓν οὔνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι, ἐν ὁκόσῳ ἕκαστα
one name of-number to-the time to-set in how-much each
τούτων κρίνεται. Προσδέχεσθαι δὲ μάλα χρὴ τὰ τοιαῦτα
of-these is-decided To-receive and very one-must the such
ἰήματα· ἐσιδέειν γὰρ φοβερώτερά ἐστιν, ἢ ἰητρεύειν· καὶ
cures to-look-at for more-frightening are than to-treat and
ἰητρείη πραείη ἀρκέει πᾶσι τοιούτοισιν· αὐτὰ γὰρ ἑωυτὰ
treatment mild suffices for-all such themselves for themselves
κρίνει μοῦνον· τῆς δὲ διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ
decide only of-the but regimen to-take-care one-must that according-to
δύναμιν ἀπύρετος ἔῃ, καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν
power fever-free he-be and in postures right to-arrange
τὸ σῶμα· δίκαια δὲ ταῦτα, μηδὲ μετέωρον ποιέειν, μηδὲ
the body right and these neither raised to-make nor
ἐς τὸ κάτω ῥέπον, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω, ποτὶ καὶ ἔστ᾽
to the lower inclining but more to the upper besides and until
ἂν τελείως περιῤῥαγῇ· αἱμοῤῥαγιέων γὰρ ἐν τούτῳ τῷ
— *completely it-break-around of-hemorrhages for in this the*
χρόνῳ κίνδυνος· διὰ τοῦτο οὖν οὐ χρὴ κατάῤῥοπα τὰ
time danger because-of this then not one-must down-sloping the

τρώματα ποιέειν, ἀλλὰ τἀναντία. Ἐπεὶ ὅταν γε χρόνος
wounds to-make but the-opposite Since when at-least time
ἐγγένηται πλείων, καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι
pass more and clean the wounds become not still
τὰ αὐτὰ σχήματα ἐπιτήδειά ἐστιν, ἀλλ' ἡ εὐθεῖα θέσις,
the same postures suitable are but the straight position
καὶ ἐνίοτε ἐπὶ τὸ κατάῤῥοπον ῥέποντα· ἀνὰ χρόνον γὰρ
and sometimes to the down-sloping inclining in time for
ἐνίοισι τουτέων ἀποστάσιες πύου γίνονται, καὶ ὑποδεσμίδων
in-some of-these abscessions of-pus arise and under-bandages
δέονται. Προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον
need To-expect and one-must the such in time
ὑπὸ δυσεντερίης πιέζεσθαι· καὶ γὰρ ἐπὶ τοῖσι μελαινομένοισι
by dysentery to-be-pressed and for on the blackening
τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη, καὶ ἐπὶ τῇσιν
for-the most supervenes dysentery and on the
αἱμορῥαγίῃσιν ἐξ ἑλκέων· ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ,
hemorrhages from wounds supervenes and as for the most-part
κεκριμένων ἤδη τῶν μελασμῶν καὶ τῆς αἱμορῥαγίης, καὶ
decided already the blackenings and the hemorrhage and
ὁρμᾶται μὲν λαύρως καὶ ἰσχυρῶς· ἀτὰρ οὔτε πολυήμερος
it-starts indeed violently and strongly but neither many-days
γίνεται, οὔτε θανατώδης· οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται
becomes nor deadly neither for very off-food become
οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.
the such nor otherwise it-is-of-advantage to-fast

An inward hip dislocation is reduced by hanging the patient by the feet while a strong man hangs from his forearm between the thighs, levering the head over its socket. Every method must be known, and the bonds fastened above the knee as well as at the foot. For a city the author describes the bench, with windlasses and a lever, and a device that levers the leg over a rung.

Μηροῦ δὲ ὀλίσθημα κατ᾽ ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν 70
Of-thigh and slipping at hip thus one-must to-reduce if
ἐς τὸ ἔσω μέρος ὠλισθήκῃ· ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ
to the inner part it-has-slipped good indeed this and just and
κατὰ φύσιν ἡ ἐμβολὴ, καὶ δή τι καὶ ἀγωνιστικὸν
according-to nature the reduction and indeed something also competitive
ἔχουσα, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος.
having whoever at-least in-the such delights being-showy
Κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην
To-hang one-must the man by-the feet from a-cross-beam
δεσμῷ δυνατῷ μὲν, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι· τοὺς
with-bond strong indeed soft but and breadth having the
δὲ πόδας διέχειν χρὴ, ὅσον τέσσαρας δακτύλους
and feet to-be-apart one-must as-much-as four fingers
ἀπ᾽ ἀλλήλων, ἢ καὶ ἔλασσον· χρὴ δὲ καὶ ἐπάνωθεν
from one-another or even less one-must and also above
τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ
the knee-caps to-be-put-round-besides with-broad strap and
μαλθακῷ, ἀνατείνοντι ἐς τὴν μεσόδμην· τὸ δὲ σκέλος τὸ
soft stretching-up to the cross-beam the and leg the
σιναρὸν ἐντετάσθαι χρὴ ὡς δύο δακτύλους μᾶλλον
injured to-be-stretched one-must as-much-as two fingers more
τοῦ ἑτέρου· ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω
than-the other from and the ground the head let-it-be-distant

ὡς δύο πήχεας, ἢ ὀλίγῳ πλέον, ἢ ἔλασσον· τὰς δὲ
as-much-as two cubits or by-a-little more or less the and
χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος
arms stretched-alongside beside the ribs bound
ἔστω μαλθακῷ τινι· πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ
let-him-be with-soft something all and these supine lying
κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται.
let-be-prepared so-that as least time he-hang
Ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ
When and he-be-hung a-man one-must well-trained and not
ἀσθενέα, ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν, εἶτα
weak having-inserted the forearm between the thighs then
θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς
to-place the forearm between the perineum and the head
τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα ξυνάψαντα τὴν ἑτέρην
of-the thigh the displaced then having-joined the other
χεῖρα πρὸς τὴν διῃρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ
hand to the inserted standing upright beside the
σῶμα τοῦ κρεμαμένου, ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον
body of-the hanging-man suddenly hanging-from-him raised
αἰωρηθῆναι ὡς ἰσορρόπωτατον. Αὕτη δὲ ἡ ἐμβολὴ
to-swing as most-evenly-balanced This and the reduction
παρέχεται πάντα, ὅσα χρὴ κατὰ φύσιν· αὐτό τε
provides all as-many-as one-must according-to nature itself both
γὰρ τὸ σῶμα, κρεμάμενον, τῷ ἑωυτοῦ βάρεϊ κατάτασιν
for the body hanging by-the its-own weight extension
ποιέεται, ὅ τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει
makes the and hanging-from at-once indeed with-the extension
ἀναγκάζει ὑπεραιωρέεσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ
forces to-be-raised-over the head of-the thigh over
τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύει
the socket at-once and with-the bone of-the forearm levers-off

καὶ ἀναγκάζει ἐς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. Χρὴ δὲ
and forces into the original nature to-slip One-must and
παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα
very-finely indeed with-the bonds to-have-been-prepared taking-thought
δὲ καὶ ὡς ἐχυρώτατον τὸν ἐξαιωρούμενον εἶναι.
and also as sturdiest the swinging-from-man to-be
Ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρον ἐστὶ 71
As indeed then also before has-been-said great the difference is
τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι,
of-the natures in-the men toward the easy-to-reduce to-be
καὶ δυσέμβλητα· καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν
and hard-to-reduce and why greatly it-differs has-been-said before
ἐν τοῖσι περὶ ὤμου. Ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει
in the about shoulder In-some for the thigh falls-in
ἀπ᾽ οὐδεμιῆς παρασκευῆς, ἀλλ᾽ ὀλίγης μὲν κατατάσιος,
from no preparation but little indeed extension
ὅσον τῇσι χερσὶ κατιθῦναι, βραχείης δὲ κιγκλίσιος·
as-much-as with-the hands to-straighten short and rocking
πολλοῖσι δὲ ξυγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον,
in-many and having-bent the leg at the joint
ἐνέπεσεν, ἤδη ἀμφίσφαλσιν ποιησάμενον. Ἀλλὰ γὰρ τὰ
it-fell-in already a-dislodging having-made But for the
πουλὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς·
much more not obey the chance preparation
διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα περὶ
because-of this to-know indeed one-must the best-ways about
ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ· χρέεσθαι δὲ, οἷσιν ἂν δόξῃ
each in all the art to-use but whichever — seem
ἑκάστοτε. Εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν
each-time Have-been-told indeed then ways of-extensions also in
τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων,
the before written-things so-that to-use these

ὅστις ἂν παρατύχῃ. Δεῖ γὰρ ἀντικατατετάσθαι
whoever — happen-to-be-at-hand It-is-needful for to-be-counter-extended
ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ
strongly on the-one-side indeed of-the leg on the-other-side and
τοῦ σώματος· ἢν γὰρ εὖ καταταθῇ, ὑπεραιωρηθήσεται ἡ
of-the body if for well it-be-extended will-be-raised-over the
κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης· καὶ ἢν μὲν
head of-the thigh over the original seat and if indeed
ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλύσαι ἔτι ῥηίδιον ἵζεσθαι
it-be-raised-over so not-even to-prevent still easy to-settle
αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει
it into the its-own seat so-that already any suffices
μόχλευσίς τε καὶ κατόρθωσις· ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ
leverage both and setting-straight but for they-fall-short in the
κατατάσει· διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή.
extension because-of this trouble more provides the reduction
Χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι,
One-must then not only beside the foot the bonds to-be-attached
ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ
but also above the knee so-that not at the of-the
γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον, ἢ
knee joint in the stretching the bandaging be more than
κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. Οὕτω μὲν οὖν χρὴ τὴν
at the of-the hip joint So indeed then one-must the
κατάτασιν, τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος, ἐσκευάσθαι· ἀτὰρ
extension the toward the of-the foot part to-be-prepared but
καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μοῦνον ἐκ τῆς περὶ τὸ
also the to the-other-side extension not only from the about the
στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ
chest and the armpits encircling to-be-counter-stretched but
καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν
also with-strap long double strong gentle beside the

περίνεον βεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν
perineum placed stretched to indeed the back
παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν παρὰ τὴν κληῖδα,
beside the spine to and the front beside the collarbone
προσηρτημένῳ πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν,
attached to the beginning the counter-extending
οὕτω διαναγκάζεσθαι, τοῖσι μὲν ἔνθα διατεινομένοισι,
so to-be-forced-apart by-those indeed this-way stretching
τοῖσι δὲ ἔνθα, ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίνεον
by-those and that-way that and the strap the beside the perineum
μὴ περὶ τὴν κεφαλὴν τοῦ μηροῦ παρατεταμένος ἔσται,
not round the head of-the thigh stretched will-be
ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς καὶ τοῦ περινέου· ἐν δὲ τῇ
but between the head and the perineum in and the
κατατάσει, κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας
extension at indeed the head of-the thigh having-pressed
τὴν πυγμὴν, ἐς τὸ ἔξω ὠθεέτω· ἢν δὲ μετεωρίζηται
the fist to the outer-side let-him-push if but he-be-raised
ἑλκόμενος, διέρσας τὴν χεῖρα καὶ ἐπιξυνάψας τῇ
being-pulled having-passed-through the hand and having-joined to-the
ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ
other hand at-once indeed let-him-extend-together at-once and to the
ἔξω ξυναναγκαζέτω· ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ
outer-side let-him-force-together other and someone the beside the knee
τοῦ μηροῦ ἡσύχως ἐς τὸ ἔσω μέρος κατορθούτω.
of-the thigh gently to the inner part let-him-set-straight
Εἴρηται δὲ καὶ πρόσθεν ἤδη, ὅτι ἐπάξιον, ὅστις ἐν πόλει 72
It-has-been-said and also before already that worthy whoever in a-city
πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον, ὡς
populous practices wood to-possess square as
ἑξάπηχυ ἢ ὀλίγῳ μέζον, εὖρος δὲ, ὡς δίπηχυ, πάχος δὲ,
six-cubits or by-a-little larger breadth and as two-cubits thickness and

ἀρκέει σπιθαμαῖον· ἔπειτα κατὰ μῆκος μὲν, ἔνθεν καὶ
suffices a-span then along length indeed on-this-side and
ἔνθεν ἐντομὴν ἔχειν χρὴ, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ
on-that a-groove to-have one-must so-that not higher than-the right
ἡ μηχάνησις ἔῃ· ἔπειτα φλιὰς βραχείας, ἰσχυρὰς, καὶ
the contrivance be then posts short strong and
ἰσχυρῶς ἐνηρμοσμένας, ὀνίσκον ἔχειν ἑκατέρωθεν· ἔπειτα
strongly fitted windlass to-have on-each-side then
ἀρκέει μὲν ἐν τῷ ἡμίσεϊ τοῦ ξύλου (οὐδὲν δὲ κωλύει καὶ
suffices indeed in the half of-the wood nothing but prevents also
διὰ παντὸς) ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ
through all to-be-cut as trenches long five or
ἓξ, διαλείπουσας ἀπ' ἀλλήλων ὡς τέσσαρας δακτύλους,
six being-apart from one-another as four fingers
αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι, καὶ βάθος
them and suffices breadth three-fingers to-be and depth
οὕτως. Ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν
so To-have and at middle the wood also a-hollow
χρὴ βαθυτέρην, ἐπὶ τετράγωνον, ὡς τριῶν δακτύλων, καὶ
one-must deeper to square as of-three fingers and
ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν,
into indeed the hollow this when it-seem to-be-needed-besides
ξύλον ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω
wood to-fix fitting the hollow the and upper
στρογγύλον, ἐμπηγνύναι δὲ, ἐπήν ποτε δοκέῃ ξυμφέρειν,
round to-fix and whenever ever it-seem to-be-of-advantage
μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ.
between the perineum and the head of-the thigh
Τοῦτο τὸ ξύλον ἑστεὸς κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ
This the wood standing prevents the yielding to-yield the
σῶμα τοῖσι πρὸς ποδῶν ἕλκουσιν· ἐνίοτε γὰρ ἀρκέει αὐτὸ
body to-those toward the-feet pulling sometimes for suffices itself

τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατάσιος· ἐνίοτε
the wood this instead-of the from-above counter-extension sometimes
δὲ καὶ, κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ
and also being-extended the leg on-this-side and on-that itself
τὸ ξύλον τοῦτο, χαλαρὸν ἐγκείμενον ἢ τῇ ἢ τῇ,
the wood this loose lying-in either this-way or that-way
ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς
to-lever-out suitable — would-be the head of-the thigh to
τὸ ἔξω μέρος. Διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται,
the outer part Because-of this for also the trenches are-cut
ὡς, καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ, ἐμβαλλόμενος ξύλινος
so-that in whichever — of-them fit put-in wooden
μοχλὸς μοχλεύοι, ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ
lever it-might-lever either beside the heads of-the joints or
κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει,
at the heads completely pressing at-once with-the extension
ἤν τε ἐς τὸ ἔξω μέρος ξυμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς
if both to the outer part it-be-of-advantage to-be-levered-out if both to
τὸ ἔσω, καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρῃ εἶναι,
the inner and if both round the lever it-be-of-advantage to-be
ἤν τε πλάτος ἔχοντα· ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει.
if both breadth having other for to-other of-the joints fits
Εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς, τῶν
Useful and it-is for all the joints of-reduction of-the
κατὰ τὰ σκέλεα, αὕτη ἡ μόχλευσις ξὺν τῇ κατατάσει. Περὶ
at the legs this the leverage with the extension About
οὗ οὖν ὁ λόγος ἐστὶ, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι·
which then the account is round fits the lever to-be
τῷ μέντοι ἔξω ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόσει
for-the however outward dislocated joint broad will-fit

εἶναι. Ἀπὸ τουτέων τῶν μηχανέων καὶ ἀναγκέων οὐδὲν
to-be From these the contrivances and forces no
ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορηθῆναι ἐμπεσεῖν.
joint to-me seems possible — to-be to-be-at-a-loss to-fall-in
73 Εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου
Could-find and — anyone also other ways of-this the joint
ἐμβολῆς· εἰ γὰρ τὸ ξύλον τὸ μέγα τοῦτο ἔχοι κατὰ μέσον
of-reduction if for the wood the great this should-have at middle
καὶ ἐκ πλαγίων φλιὰς δύο, ὡς ποδιαίας, ὕψος δὲ ὅκως ἂν
and from sides posts two as a-foot-high height and as —
δοκέοι ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, ἔπειτα
it-seem to-be-of-advantage the-one indeed on-this-side the-other and on-that then
ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν ὡς κλιμακτὴρ,
wood crosswise should-be-in in the posts as a-rung
ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων, τὸ
then to-pass-through the sound leg between the posts the
δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχειν ἁρμόζον ἀπαρτὶ
and injured above the rung to-have fitting exactly
πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον, ᾗ ἐκπέπτωκεν·
to the height and to the joint where it-has-been-dislocated
ῥηΐδιον δὲ ἁρμόζειν· τὸν γὰρ κλιμακτῆρα ὑψηλότερόν
easy and to-fit the for rung higher
τινι χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον,
somewhat one-must to-make than-the moderate and a-cloak many-folded
ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. Ἔπειτα χρὴ
as — it-fit to-stretch-under under the body Then one-must
ξύλον, ἔχον πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ
wood having breadth moderate and length as-far-as the ankle
ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι, ἱκνεόμενον ἐπέκεινα
stretched-under under the leg to-be reaching beyond

τῆς κεφαλῆς τοῦ μηροῦ ὡς οἷόν τε· προσκαταδεδέσθαι
the head of-the thigh as possible — to-be-tied-besides
δὲ χρὴ πρὸς τὸ σκέλος, ὅκως ἂν μετρίως ἔχῃ.
and one-must to the leg as — moderately it-be
Κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ
And-then being-extended the leg either with-wood
ὑπεροειδέϊ, εἴτε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ
pestle-shaped or of-these some of-the extensions together
χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα
one-must to-be-forced the leg round the rung
ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ· τὸν
to the lower part with the wood the tied-on the
δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου
and someone to-hold the man higher than-the joint
κατὰ τὸ ἰσχίον. Καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις
at the hip And for so at-once indeed the extension
ὑπεραιωρέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης,
would-raise-over — the head of-the thigh over the socket
ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ
at-once and the leverage would-push the head of-the thigh
ἐς τὴν ἀρχαίην φύσιν. Αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι
into the original nature These all the said forces
ἰσχυραὶ, καὶ πᾶσαι κρέσσους τῆς ξυμφορῆς, ἤν τις
strong and all stronger than-the misfortune if anyone
ὀρθῶς καὶ καλῶς σκευάζῃ. Ὥσπερ δὲ καὶ πρόσθεν ἤδη
correctly and well prepare As and also before already
εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ
has-been-said much something from weaker extensions and
φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει.
poorer arrangement in-the most it-falls-in

An outward dislocation is levered inward with a broad lever; hanging will not serve, since the arm would push the head out. A backward one is pressed down with a board set in the wall; a forward one is pushed down and forward with the palm, or hung by a practiced man. The wineskin, meant for inward ones, is mostly misused, and the least troublesome cure is best. Extension is improvised from a bed, pestles, or a ladder; an inward one takes a weight hung from the leg.

74 Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλίσθῃ, τὰς μὲν
If but to the outer-side head of-thigh slip the indeed
κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ
extensions this-way and that-way one-must to-make as
εἴρηται, ἢ τοιουτοτρόπως· τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι
has-been-said or in-such-a-way the and leverage breadth having
μοχλῷ μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει, ἐκ τοῦ
with-lever to-lever one-must at-once with-the extension from the
ἔξω μέρεος ἐς τὸ ἔσω ἀναγκάζοντα, κατά γε αὐτὸν τὸν
outer part to the inner forcing at at-least the-very the
γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω· ἐπὶ δὲ
buttock placing the lever and a-little higher on and
τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι
the sound hip at the buttock let-counter-prop someone with-the
χερσὶν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ
hands so-that not give-way the body or with-other some such
μοχλῷ, ὑποβάλλων καὶ ἐρείσας, ἐκ τῶν καπέτων τὴν
lever putting-under and having-pressed from the trenches the
ἁρμόζουσαν ἀντικατεχέτω· τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος
fitting let-him-hold-against of-the and thigh the dislocated
τὸ παρὰ τὸ γόνυ ἔσωθεν ἔξω παραγέτω ἡσύχως. Ἡ δὲ
the beside the knee from-inside outward let-him-draw gently The but
κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος
hanging not will-fit this the way of-the slipping

τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθέοι ἂν
of-the joint the for forearm of-the hanging-man would-push —
τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. Τὴν μέντοι ξὺν
the head of-the thigh from the socket The however with
τῷ ξύλῳ τῷ ὑποτεινομένῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις,
the wood the stretched-under leverage could-contrive — someone
ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος,
so-as to-fit also this the way of-the slipping
ἔξωθεν προσαρτέων. Ἀλλὰ τί καὶ δεῖ πλείω λέγειν;
from-outside attaching But why also is-it-needful more to-say
ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ
if for correctly indeed and well it-be-extended correctly and
μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον, οὕτως ἐκπεπτωκός;
be-levered what not — would-fall-in joint so dislocated
Ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρὸς, τὰς 75
If but to the-back part be-dislocated the thigh the
μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτω δεῖ ποιέεσθαι,
indeed extensions and counter-extensions so must to-make
καθάπερ εἴρηται· ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον
as has-been-said having-spread and on the wood a-cloak
πολύπτυχον, ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντα
many-folded so-that softest it-be prone laying-down
τὸν ἄνθρωπον, οὕτω κατατείνειν· ἅμα δὲ τῇ κατατάσει
the man so to-extend at-once and with-the extension
χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον ὡς τὰ
one-must with-the board to-force-down the same way as the
ὑβώματα, κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα,
humps at line of-the buttock having-made the board
καὶ μᾶλλον ἐς τὸ κάτω μέρος, ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων·
and more to the lower part than to the upper of-the hips
καὶ ἡ ἐντομὴ, ἡ ἐν τῷ τοίχῳ τῇ σανίδι, μὴ εὐθεῖα ἔστω,
and the groove the in the wall for-the board not straight let-it-be

ἀλλ᾽ ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος. Αὕτη ἡ
but a-little sloping toward the of-the feet part This the
ἐμβολὴ κατὰ φύσιν τε μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ
reduction according-to nature both most for-the way this of-the
ὀλισθήματός ἐστι, καὶ ἅμα ἰσχυροτάτη. Ἀρκέσειε δ᾽ ἂν
slipping is and at-once strongest Might-suffice and —
ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα, ἢ τῇσι χερσὶν
perhaps instead-of the board also sitting-on someone or with-the hands
ἐρεισάμενον, ἢ ἐπιβάντα, ἐξαπίνης ἐπαιωρηθῆναι ἅμα
having-pressed or having-stepped-on suddenly to-be-raised at-once
τῇ κατατάσει. Ἄλλη δὲ οὐδεμίη ἐμβολὴ τῶν προειρημένων
with-the extension Other but no reduction of-the aforesaid
κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος.
according-to nature is for-the way this of-the slipping
76 Ἢν δὲ ἐς τὸ ἔμπροσθεν ὀλίσθῃ, τῶν μὲν κατατασίων ὁ
If but to the front it-slip of-the indeed extensions the
αὐτὸς τρόπος ποιητέος, ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον
same way is-to-be-made a-man and one-must as strongest
ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον, ἐνερείσαντα τὸ θέναρ
in hands and as best-trained having-pressed the palm
τῆς χειρὸς τῆς ἑτέρης παρὰ τὸν βουβῶνα, καὶ τῇ ἑτέρῃ
of-the hand of-the one beside the groin and with-the other
χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα, ἅμα μὲν ἐς
hand the his-own hand having-grasped-besides at-once indeed to
τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν
the lower-part to-push the slipped-part at-once and to the front
τοῦ γούνατος μέρος. Οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς
of-the knee part This for the way of-the reduction
μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν. Ἀτὰρ
most according-to nature for-this the slipping is But
καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν· δεῖ
also the hanging near somewhat to-the according-to nature it-is-needful

μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύῃ
however the hanging-man experienced to-be so-that not he-lever-out
τῷ πήχεϊ τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίνεον
with-the forearm the joint but about middle the perineum
καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέηται.
and at the sacred bone the hanging make
Εὐδοκιμέει δὲ δὴ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον 77
Is-well-thought-of and indeed also with-a-wineskin this the joint
ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ
to-be-reduced and already indeed some I-saw who from
φαυλότητος καὶ τὰ ἔξω ἐκκεκλιμένα καὶ τὰ ὄπισθεν
poorness both the outward inclined and the backward
ἀσκῷ ἐπειρῶντο ἐμβάλλειν, οὐ γινώσκοντες, ὅτι
with-a-wineskin tried to-reduce not knowing that
ἐξέβαλλον αὐτὸ μᾶλλον, ἢ ἐνέβαλλον· ὁ μέντοι πρῶτος
they-were-putting-out it rather than were-putting-in the however first
ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ ἔσω ὠλισθηκότα, ἀσκῷ
having-devised clear that for the inward slipped with-a-wineskin
ἐμβάλλειν ἐπειρήσατο. Ἐπίστασθαι μὲν οὖν χρὴ, ὡς
to-reduce tried To-know indeed then one-must how
χρηστέον ἀσκῷ, εἰ δέοι χρέεσθαι, διαγινώσκειν δὲ
one-must-use the-wineskin if it-should-be-needful to-use to-discern and
χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρέσσω ἐστίν· χρὴ δὲ
one-must that other many than-the-wineskin better are one-must and
τὸν μὲν ἀσκὸν κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα,
the indeed wineskin to-place into the thighs uninflated being
ὡς ἂν δύναιτο, ἀνωτάτω πρὸς τὸν περίνεον ἀνάγοντα· ἀπὸ
as — it-could highest to the perineum bringing-up from
δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους
and the knee-caps beginning with-a-band to one-another
τοὺς μηροὺς καταδῆσαι ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν·
the thighs to-bind-down as-far-as the half of-the thighs

ἔπειτα ἐς ἕνα τῶν ποδῶν, τὸν λελυμένον, ἐνθέντα αὐλὸν
then into one of-the feet the loosened having-put-in a-pipe
ἐκ χαλκείου, φῦσαν ἐσαναγκάζειν ἐς τὸν ἀσκόν· τὸν δὲ
from a-smithy a-blast to-force-in into the wineskin the and
ἄνθρωπον πλάγιον κατακέεσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς
man sideways to-lie-down the injured leg uppermost
ἔχοντα. Ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστίν· σκευάζονται δὲ
having The indeed then preparation this is prepare but
κάκιον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα· οὐ γὰρ καταδέουσι
worse the most than as I have-said not for they-bind-down
τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γούνατα.
the thighs over a-great-length but only the knees
Οὐδὲ κατατείνουσι, χρὴ δὲ καὶ προσκατατείνειν· ὅμως
Nor they-extend one-must and also to-extend-besides nevertheless
δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πρήγματος ἐπιτυχόντες.
but already some reduced an-easy matter having-happened-upon
Εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως· ὅ τε γὰρ
Conveniently but not very is to-be-forced so the both for
ἀσκὸς, ἐμφυσώμενος, οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς
wineskin being-inflated not the bulkiest-parts of-it has at
τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεύσασθαι,
the joint of-the head which must most to-be-levered-out
ἀλλὰ κατὰ ἑωυτὸν αὐτὸς μέσος, καὶ τῶν μηρῶν ἴσως ἢ
but at itself it middle and of-the thighs perhaps either
κατὰ τὸ μέσον ἢ ἔτι κατωτέρω· οἵ τε αὖ μηροὶ φύσει
at the middle or still lower the both again thighs by-nature
γαυσοὶ πεφύκασιν, ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι,
bowed are-formed above for both fleshy and close-together
ἐς δὲ τὸ κάτω ὑπόξηροι, ὥστε καὶ ἡ τῶν μηρῶν φύσις
to and the lower-part dryish so-that also the of-the thighs nature
ἀπαναγκάζει τὸν ἀσκὸν ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου.
forces-away the wineskin from the most-critical place

Εἴ τε οὖν τις μικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς
If both then anyone small will-put-in the wineskin small the strength
ἐοῦσα ἀδύνατος ἔσται ἀναγκάζειν τὸ ἄρθρον. Εἰ δὲ δεῖ
being unable will-be to-force the joint If but it-is-needful
ἀσκῷ χρέεσθαι, ἐπὶ πουλὺ οἱ μηροὶ ξυνδετέοι
with-a-wineskin to-use over much the thighs are-to-be-bound-together
πρὸς ἀλλήλους, καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ
to one-another and at-once with-the extension of-the body the
ἀσκὸς φυσητέος· τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καὶ καταδέειν
wineskin is-to-be-inflated the and legs both together also to-bind
ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν.
in this the way of-the reduction at the end
Χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ 78
One-must and of most indeed to-make in all the
τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσεις τὸ νοσέον· εἰ δὲ πολλοῖσι
art how sound indeed you-will-make the ailing if but in-many
τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον
ways possible — it-should-be sound to-make the least-troublesome
χρὴ αἱρέεσθαι· καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ
one-must to-choose and for more-manly this and
τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης.
more-skillful whoever not desires popular quackery
Περὶ οὗ οὖν ὁ λόγος ἐστὶ, τοιάδε ἄν τινες κατοικίδιοι
About which then the account is such — some domestic
κατατάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων
extensions might-be of-the body so-that from the things-present
τὸ εὔπορον εὑρίσκειν· τοῦτο μὲν, εἰ τὰ δεσμὰ τὰ ἱμάντινα
the easy-means to-find this indeed if the bonds the leathern
μὴ παρείη τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ᾽ ἢ σιδήρεα,
not be-at-hand the soft and gentle but either iron
ἢ ὅπλα, ἢ σχοινία, ταινίῃσι χρὴ ἢ ἐκρήγμασι τρυχίων
or tackle or ropes with-bands one-must or with-tatters of-rags

ἐρινεῶν περιελίσσειν ταύτῃ μάλιστα, ᾗ μέλλει τὰ δεσμὰ
woolen to-wrap-round here most where are-about the bonds
καθέξειν, καὶ ἔτι ἐπὶ πλέον· ἔπειτα οὕτω δεῖν τοῖσι
to-hold and still over more then so to-bind with-the
δεσμοῖσιν· τοῦτο δὲ, ἐπὶ κλίνης χρὴ, ἥτις ἰσχυροτάτη
bonds this and on bed one-must which-ever strongest
καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν
and largest of-the present-ones to-be-extended well the
ἄνθρωπον· τῆς δὲ κλίνης τοὺς πόδας, ἢ τοὺς πρὸς
man of-the and bed the feet either the toward
κεφαλῆς, ἢ τοὺς πρὸς ποδῶν, ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν,
the-head or the toward the-feet to-be-propped against the threshold
εἴ τε ἔξωθεν ξυμφέρει, εἴτε ἔσωθεν· παρὰ δὲ τοὺς
if both from-outside it-be-of-advantage or from-inside beside and the
ἑτέρους πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον,
other feet to-be-laid-alongside wood square crosswise
διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα, καὶ, ἢν μὲν λεπτὸν
reaching from the foot to the foot and if indeed thin
ἔῃ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν
be the wood let-it-be-tied to the feet of-the bed if
δὲ παχὺ ἔῃ, μηδέν· ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν,
but thick it-be nothing then the ends one-must of-the bonds
καὶ τῶν πρὸς τῆς κεφαλῆς, καὶ τῶν πρὸς τῶν ποδῶν,
both of-the toward the head and of-the toward the feet
προσδῆσαι ἑκατέρας πρὸς ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτον
to-tie each to a-pestle or to other some such
ξύλον· ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, ἢ καὶ
wood the and bond let-have straight-line along the body or even
ὀλίγον ἀνωτέρω, ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα,
a-little higher proportionately and let-be-stretched to the pestles
ὡς, ὀρθὰ ἑστεῶτα, τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται,
as upright standing the indeed beside the threshold be-propped

τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον· κἄπειτα
the-other and beside the wood the laid-alongside and-then
οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιέειν.
so the pestles bending-back one-must the extension to-make
Ἀρκέει δὲ καὶ κλίμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας,
Suffices and also a-ladder strong having the rungs
ὑποτεταμένη ὑπὸ τὴν κλίνην, ἀντὶ τοῦ οὐδοῦ τε καὶ
stretched-under under the bed instead-of the threshold both and
τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα, πρὸς
the wood the stretched-alongside so-that the pestles against
τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν
the rungs the fitting on-this-side and on-that
προσερηρεισμένα, ἀνακλώμενα, οὕτω τὴν κατάτασιν ποιέηται
propped bent-back so the extension make
τῶν δεσμῶν. Ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν
of-the bonds Is-reduced and of-thigh joint also this the
τρόπον, ἢν ἐς τὸ ἔσω ὠλισθήκῃ καὶ ἐς τὸ ἔμπροσθεν·
way if to the inner-side it-has-slipped and to the front
κλίμακα χρὴ κατορύξαντα, ἐπικαθίσαι τὸν ἄνθρωπον,
a-ladder one-must having-fixed to-seat-on the man
ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι,
then the indeed sound leg gently having-extended to-tie
ὅκου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ ἐς κεράμιον ὕδωρ
where — it-fit from and the injured into an-earthen-jar water
ἐγχέαντα ἐκκρεμάσαι ἢ ἐς σφυρίδα λίθους ἐμβαλόντα.
having-poured-in to-hang-from or into a-basket stones having-put-in
Ἕτερος τρόπος ἐμβολῆς· ἢν ἐς τὸ ἔσω ὠλισθήκῃ,
Another way of-reduction if to the inner-side it-has-slipped
στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα
a-crossbeam one-must to-tie-across between two pillars height having
σύμμετρον· προεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος
proportionate let-it-project and of-the crossbeam at the one part

ὁκόσον τὸ πυγαῖον· περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ
as-much-as the buttock having-tied-round and round the chest of-the
ἀνθρώπου ἱμάτιον, ἐπικαθίσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προέχον
man a-cloak to-seat the man on the projecting-part
τοῦ στρωτῆρος· εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον
of-the crossbeam then to-secure-besides the chest to the pillar
πλατεῖ τινί· ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις,
with-broad something then the indeed sound leg let-hold someone
ὡς μὴ περισφάλληται· ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι
so-that not it-slip-round from and the injured to-hang
βάρος, ὅσον ἂν ἁρμόζῃ, ὡς καὶ πρόσθεν ἤδη εἴρηται.
a-weight as-much-as — fit as also before already has-been-said

XIX · SUMMARY OF THE JOINTS

Joints meet as head and socket, and every dislocation should be reduced at once, while warm, after softening; the patient is starved until the seventh day, most for the largest joints. A finger is reduced by extension, the tip wrapped, or with the plaited lizard trap, and is settled by the fourteenth day. The knee, mostly dislocated inward, is easier than the elbow; the ankle needs strong extension. The section closes with crushed heels from leaps and the dislocated foot.

79 Πρῶτον μὲν οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων
First indeed then it-is-needful to-know that of-all the bones
αἱ ξυμβολαί εἰσιν ὡς ἐπὶ πουλὺ ἡ κεφαλὴ καὶ ἡ
the junctions are as for the-most-part the head and the
κοτύλη· ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος·
socket on which and also the place socket-like and longish
ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. Ἀεὶ δὲ ἐμβάλλειν
some and of-the places glenoid are Always and to-reduce
δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς
one-must all the dislocated joints most indeed straightway

παραχρῆμα ἔτι θερμῶν ἐόντων· εἰ δὲ μὴ, ὡς τάχιστα· καὶ
immediately still warm being if but not as quickly-as-possible also
γὰρ τῷ ἐμβάλλοντι ῥηΐτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν,
for for-the reducing easier and quicker it-is to-reduce
καὶ τῷ ἀσθενέοντι πουλὺ ἀπονωτέρη ἡ ἐμβολὴ, ἡ πρὶν
and for-the ailing much less-painful the reduction the before
διοιδεῖν, ἐστιν. Δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα, ὁκόταν
to-swell is One-must and always all the joints when
μέλλῃς ἐμβάλλειν, προαναμαλάξαι καὶ διακιγκλίσαι· ῥᾷον
you-be-about to-reduce to-soften-first and to-rock easier
γὰρ ἐθέλει ἐμβάλλεσθαι. Παρὰ πάσας δὲ τὰς τῶν
for they-are-willing to-be-reduced Throughout all and the of-the
ἄρθρων ἐμβολὰς ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα
joints reductions to-make-lean one-must the man most
μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι,
indeed about the greatest joints and hardest to-be-reduced
ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥηϊδια.
least but about the smallest and easy
Δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον τι τῶν τῆς χειρὸς, ἤν 80
Of-fingers and if be-dislocated joint some of-the of-the hand if
τε τὸ πρῶτον, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον, ωὐτὸς
both the first if both the second if both the third the-same
καὶ ἴσος τρόπος τῆς ἐμβολῆς· χαλεπώτερα μέντοι ἀεὶ τὰ
and equal way of-the reduction harder however always the
μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. Ἐκπίπτει δὲ κατὰ τέσσαρας
greatest of-the joints to-reduce It-is-dislocated and in four
τρόπους, ἢ ἄνω, ἢ κάτω, ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν,
ways either upward or downward or to the side on-either-side
μάλιστα μὲν ἐς τὸ ἄνω, ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν
most indeed to the upper-part least but to the sides in
τῷ σφόδρα κινέεσθαι. Ἑκατέρωθεν δὲ τῆς χώρης, οὗ
the violently to-be-moved On-either-side and of-the place where

ἐκβέβηκεν, ὥσπερ ἄμβη ἐστίν. Ἢν μὲν οὖν ἐς τὸ ἄνω
it-has-gone-out as-it-were a-rim is If indeed then to the upper-part
ἐκπέσῃ ἢ ἐς τὸ κάτω διὰ τὸ λειοτέρην εἶναι ταύτην
it-be-dislocated or to the lower-part because-of the smoother to-be this
τὴν χώρην, ἢ ἐκ τῶν πλαγίων, καὶ ἅμα μικρῆς ἐούσης
the place than from the sides and at-once small being
τῆς ὑπερβάσιος, ἢν μεταστῇ τὸ ἄρθρον, ῥηϊδιόν ἐστιν
the crossing if it-be-displaced the joint easy it-is
ἐμβάλλειν. Τρόπος δὲ τῆς ἐμβολῆς ὅδε· περιελίξαι τὸν
to-reduce Way and of-the reduction this to-wrap-round the
δάκτυλον ἄκρον ἢ ἐπιδέσματί τινι ἢ ἄλλῳ τρόπῳ τοιούτῳ
finger at-the-tip either with-bandage some or other way such
τινὶ, ὅκως, ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ
some so-that when you-extend by-the-tip having-taken-hold not
ἀπολισθάνῃ· ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι
it-slip-off when and you-wrap-round the-one indeed someone to-grasp
ἄνωθεν τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ κατειλημμένου·
above the wrist of-the hand the-other and of-the held-part
ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα, καὶ
then to-extend toward himself both well very and
ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην.
at-once to-push the displaced joint into the place
Ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τῆς μὲν κατατάσιος
If but to the sides it-be-dislocated of-the indeed extension
ωὐτὸς τρόπος· ὅταν δὲ δὴ δοκέῃ σοι ὑπερβεβηκέναι
the-same way when and indeed it-seem to-you to-have-passed-over
τὴν γραμμὴν, ἅμα χρὴ κατατείναντας ἀπῶσαι ἐς τὴν
the line at-once one-must having-extended to-push into the
χώρην εὐθὺς, ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ
place straightway another and someone from the other side of-the
δακτύλου φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν
finger to-guard and to-push-up so-that not again from-there

ἀπολίσθῃ. Ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ σαῦραι αἱ ἐκ
it-slip-off Reduce and fairly also the lizards the from
τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς ἔνθεν καὶ ἔνθεν
the palm-fibers plaited if you-extend this-way and that-way
τὸν δάκτυλον, λαβόμενος τῇ μὲν ἑτέρῃ τῆς σαύρης,
the finger having-taken-hold with-the indeed one of-the lizard
τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. Ὁκόταν δὲ ἐμβάλῃς,
with-the and other of-the wrist of-the hand When and you-reduce
ἐπιδεῖν δεῖ ὀθονίοισιν ὡς τάχιστα, λεπτοτάτοισι,
to-bandage one-must with-linen-strips as quickly-as-possible thinnest
κεκηρωμένοισι κηρωτῇ μήτε λίην μαλακῇ μήτε λίην σκληρῇ,
waxed with-cerate neither too soft nor too hard
ἀλλὰ μετρίως ἐχούσῃ· ἡ μὲν γὰρ σκληρὴ ἀφέστηκεν
but moderately being the indeed for hard stands-away
ἀπὸ τοῦ δακτύλου, ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ διατήκεται καὶ
from the finger the and soft and moist melts and
ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου· λύειν δὲ ἄρθρον
is-lost being-warmed the finger to-loosen and joint
δακτύλου τριταῖον ἢ τεταρταῖον· τὸ δὲ ὅλον, ἢν μὲν
of-finger on-the-third-day or on-the-fourth the and whole if indeed
φλεγμήνῃ, πυκνότερον λύειν, ἢν δὲ μὴ, ἀραιότερον· κατὰ
it-be-inflamed more-often to-loosen if but not more-rarely about
πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω. Καθίσταται δὲ
all and the joints these-things I-say Is-settled and
τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκαταῖον. Ὁ αὐτὸς
of-the finger the joint on-the-fourteenth-day The same
δέ ἐστι θεραπείης τρόπος δακτύλων χειρός τε καὶ ποδός.
and is of-treatment way of-fingers of-hand both and of-foot
Παρὰ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ 81
Throughout all and the of-the joints reductions one-must
ἰσχναίνειν καὶ λιμαγχονέειν ἄχρι ἑβδόμης· καὶ εἰ μὲν
to-make-lean and to-starve until the-seventh-day and if indeed

φλεγμαίνοι, πυκνότερον λύειν, εἰ δὲ μὴ, ἀραιότερον·
it-be-inflamed more-often to-loosen if but not more-rarely
ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ τὸ πονέον ἄρθρον, καὶ ὡς
rest and one-must to-have always the laboring joint and as
κάλλιστα ἐσχηματισμένον κέεσθαι.
finest arranged to-lie

82 Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος διὰ τὴν εὐσταλίην καὶ τὴν
Knee and better-natured than-the-elbow because-of the compactness and the
εὐφυΐην, διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥᾷον· ἐκπίπτει
good-form wherefore also it-is-dislocated and falls-in more-easily it-is-dislocated
δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. Ἐμβολαὶ
and most-often inward but also outward and backward Reductions
δὲ, ἐκ τοῦ ξυγκεκάμφθαι· ἢ ἐκλακτίσαι ὀξέως, ἢ ξυνελίξας
and from the being-bent or to-kick-out sharply or having-rolled
ταινίης ὄγκον, ἐν τῇ ἰγνύϊ θεὶς, ἀμφὶ τοῦτον ἐξαίφνης
of-band a-mass in the knee-hollow having-placed around this suddenly
ἐς ὄκλασιν ἀφιέναι τὸ σῶμα. Δύναται δὲ καὶ κατατεινόμενον
to crouching to-let-down the body Can and also being-extended
μετρίως, ὥσπερ ἀγκὼν, ἐμπίπτειν, τὰ ὄπισθεν· τὰ δὲ ἔνθα
moderately like elbow to-fall-in the backward the but this-way
ἢ ἔνθα, ἐκ τοῦ ξυγκεκάμφθαι, ἢ ἐκλακτίσαι, ἀτὰρ καὶ ἐκ
or that-way from the being-bent or to-kick-out but also from
κατατάσιος μετρίης. Ἡ διόρθωσις ἅπασι κοινή. Ἢν δὲ μὴ
extension moderate The setting-straight to-all common If but not
ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν, ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ
it-fall-in for-those indeed backward to-bend not they-can but
οὐδὲ τοῖσιν ἄλλοισι πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης
not-even for-the others very wastes and of-thigh and of-leg
τοὔμπροσθεν· ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι, μινύθει δὲ
the-front if but to the inner-side more-knock-kneed wastes and
τὰ ἔξω· ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον,
the outer-parts if but to the outer-side more-bowlegged lame but less

κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὰ ἔσω.
on for the thicker bone it-rides wastes and the inner-parts
Ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν.
From birth and also in growth according-to account the before
Τὰ δὲ κατὰ τὰ σφυρὰ, κατατάσιος ἰσχυρῆς δέεται, ἢ 83
The and at the ankles extension strong need either
τῇσι χερσὶν, ἢ ἄλλοισι τοιούτοισι, κατορθώσιος δὲ ἅμα
with-the hands or with-other such setting-straight and at-once
ἀμφότερα ποιεούσης· κοινὸν δὲ τοῦτο ἅπασιν.
both doing common and this for-all
Τὰ δὲ ἐν ποδὶ, ὡς καὶ τὰ ἐν χειρὶ, ὑγιέες. 84
The and in foot as also the in hand sound
Τὰ δὲ τῆς κνήμης ξυγκοινωνέοντα, καὶ ἐκπεσόντα ἐκ 85
The and of-the leg sharing and dislocated from
γενεῆς, ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταὐτὰ ἃ καὶ
birth or also in growth dislocated the-same-things as also
ἐν χειρί.
in hand
Ὁκόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, 86
As-many-as and having-leapt from-above propped-themselves on-the heel
ὥστε διαστῆναι τὰ ὀστέα, καὶ φλέβας ἐκχυμωθῆναι, καὶ
so-that to-be-parted the bones and veins to-be-extravasated and
νεῦρα ἀμφιφλασθῆναι, ὁκόταν γένηται οἷα τὰ δεινὰ,
sinews to-be-crushed-around when there-happen such the terrible-things
κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν·
danger indeed mortified the lifetime troubles to-provide
ῥοιώδη μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι
flowing indeed for the bones the and sinews with-one-another
κοινωνέοντα. Ἐπεὶ καὶ οἷσιν ἂν μάλιστα κατεηγεῖσιν,
communicating Since also in-whom — most having-been-broken
ἢ ὑπὸ τρώματος ἢ ἐν κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων
or from wound either in leg or in thigh or of-sinews

ἀπολυθέντων, ἃ κοινωνέει τούτων, ἢ ἐκ κατακλίσιος
having-been-detached which communicate with-these or from lying-down
ἀμελέος ἐμελάνθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα
careless was-blackened heel also for-these the relapsing-things
ἐκ τῶν τοιούτων. Ἔστιν ὅτε καὶ πρὸς τῷ σφακελισμῷ
from the such It-is when also in-addition-to the mortification
γίνονται πυρετοὶ ὀξέες, λυγμώδεες, γνώμης ἁπτόμενοι,
arise fevers acute hiccuping the-mind touching
ταχυθάνατοι, καὶ ἔτι φλεβῶν αἱμορῥοιέων πελιώσιες.
quick-killing and still of-veins bleeding lividities
Σημήϊα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα καὶ
Signs and of-the relapsing if the extravasations and
τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα·
the blackenings and the about these hardish and reddish
ἤν τε ξὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος μελανθῆναι·
if both with hardening it-become-livid danger to-be-blackened
ἢν δὲ ὑποπέλια ᾖ, ἢ καὶ πέλια μάλα καὶ ἐκκεχυμωμένα,
if but somewhat-livid it-be or also livid very and extravasated
ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν
or yellowish and soft these on all the such
ἀγαθά. Ἴησις, ἢν μὲν ἀπύρετος ἔῃ, ἐλλέβορον· ἢν δὲ μὴ, μή·
good Treatment if indeed fever-free he-be hellebore if but not not
ἀλλὰ ποτὸν ὀξύγλυκυ, εἰ δέοι. Ἐπίδεσις δὲ, ἄρθρων·
but drink sour-sweet if it-should-be-needful Bandaging and of-joints
ἐπὶ δὲ πάντα, μᾶλλον τοῖσι φλάσμασιν, ὀθονίοισι πλείοσι
on and all more for-the bruises with-linen-strips more
καὶ μαλθακωτέροισιν· πίεξις ἧσσον προσπεριβάλλειν δὲ τὰ
and softer pressure less to-put-round and the
πλεῖστα τῇ πτέρνῃ. Τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις, ὡς
most at-the heel The posture which-very the bandaging so-that
μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται. Νάρθηξι δὲ μὴ χρέεσθαι.
not to the heel it-be-pressed-off With-splints and not to-use

Οἷσι δ' ἂν ἐκβῇ ὁ ποὺς ἢ αὐτὸς, ἢ ξὺν τῇ ἐπιφύσει, 87
In-whom and — go-out the foot either itself or with the epiphysis
ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ ἔσω. Ἢν δὲ μὴ ἐμπέσῃ,
it-is-dislocated indeed more to the inner-side If but not it-fall-in
λεπτύνεται ἀνὰ χρόνον τό τε ἰσχίον καὶ ὁ μηρὸς καὶ κνήμης
wastes in time the both hip and the thigh and of-leg
τὸ ἀντίον τοῦ ὀλισθήματος. Ἐμβολὴ δὲ ἄλλη, ὥσπερ καρποῦ,
the opposite of-the slipping Reduction but other like of-wrist
κατάτασις δὲ ἰσχυρή. Ἴησις δὲ, νόμος ἄρθρων. Παλιγκοτέει,
extension but strong Treatment and the-custom of-joints Relapses
ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσιν. Δίαιτα μείων, ἐλινύουσιν.
less but than-the-wrist if they-keep-quiet Diet less for-those-resting
Τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρότερον.
The but from birth or in growth according-to account the former

HIPPOCRATES

ΜΟΧΛΙΚΟΣ

Instruments of Reduction

I · THE BONES, THE NOSE, THE EAR, THE JAW, AND THE SHOULDER

ταῦτα νόμος· ἐν δὲ τουτέοισι μέγιστα ἐπιδέσιος· πίεξις μὲν,
these custom in and these greatest of-bandaging pressure indeed
ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μηδὲ ἐρηρεῖσθαι κάρτα,
so-that the placed-on not to-stand-off nor to-be-pressed very
ἀλλὰ ἡρμόσθαι μὲν, προσηναγκάσθαι δὲ μὴ, ἦσσον μὲν τὰ
but to-be-fitted indeed to-have-been-forced and not less indeed the
ἔσχατα, ἥκιστα δὲ τὰ μέσα. Ἄμμα, καὶ ῥάμμα νεμόμενον
extremities least and the middle Knot and stitch being-placed
μὴ κάτω, ἀλλ᾽ ἄνω, ἐν παρέξει, καὶ σχέσει, καὶ ἐπιδέσει,
not down but up in presentation and holding and bandaging
καὶ πιέξει. Ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ᾽ ἔνθα
and pressure Ends to-be-placed not on the wound but where
τὸ ἄμμα. Τὸ δὲ ἄμμα μήτε ἐν τρίβῳ, μήτε ἐν ἔργῳ, μήτε
the knot The but knot neither in friction nor in work nor
ἐκεῖσε, ὅκου ἐνεόν. Ἄμμα δὲ καὶ ῥάμμα μαλθακὸν, οὐ μέγα.
there where useless Knot but and stitch soft not great
9 Εὖ γε μὴν γνόντα, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει
Well at-least however knowing that to the sloping and tapering escapes
πᾶς ἐπίδεσμος, οἷον, κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ
every bandage as of-head indeed the upper of-leg and
τὸ κάτω. Ἐπιδεῖν δεξιὰ ἐπ᾽ ἀριστερὰ, ἀριστερὰ ἐπὶ δεξιὰ,
the lower To-bandage right to left left to right
πλὴν τῆς κεφαλῆς· ταύτην δὲ κατ᾽ ἴξιν. Τὰ δ᾽ ὑπεναντία,
except the head this but along line The but opposite
ἀπὸ δύο ἀρχέων· ἢν δὲ ἀπὸ μιῆς, ἐφ᾽ ὅμοιον ἐς τὸ μόνιμον,
from two ends if but from one to like to the stable
οἷον τὸ μέσον τῆς κεφαλῆς, ἢ ὅ τι ἄλλο τοιοῦτον.
as the middle of-the head or what — other such
Τὰ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅπη μὲν ξυγκάμπτεται,
The but moving as joints where indeed it-is-bent

ὡς ἥκιστα, καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύῃ·
as least and neatest to-put-round as for-knee-hollow
ὅπῃ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, οἷον μύλῃ·
where but it-is-stretched-round simple both and broad as for-knee-cap
προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα
to-put-round-besides and of-securing indeed of-the about these
εἵνεκα, ἀναλήψιος δὲ τοῦ ξύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν
for-the-sake of-support and of-the whole bandage in the
ἀτρεμέουσι καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω
keeping-still and flatter of-the body as the above
καὶ τὸ κάτω τοῦ γούνατος· ὁμολογέει δὲ ὦμου μὲν ἡ
and the below of-the knee agrees and of-shoulder indeed the
περὶ τὴν ἑτέρην μασχάλην περιβολὴ, βουβῶνος δὲ, ἡ περὶ
round the other armpit putting-round of-groin and the round
τὸν ἕτερον κενεῶνα, καὶ κνήμης, ἡ ὑπὲρ γαστροκνημίης.
the other flank and of-leg the above calf
Ὁκόσοισι μὲν ἄνω ἡ φυγὴ, κάτωθεν ἡ ἀντίληψις· οἷσι δὲ
For-as-many-as indeed upward the escape from-below the counter-hold in-whom but
κάτω, τοὐναντίον· οἷσι δὲ μὴ ἔστι, οἷον κεφαλῇ, τουτέων
downward the-opposite in-whom and not is as for-head of-these
ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, καὶ ἥκιστα
in the most-even the securings to-make and least
λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον
oblique the bandage to-use so-that the most-stable last
περιβληθὲν τὰ πλανωδέστατα κατέχῃ. Ὁκόσοισι δὲ τοῖσιν
put-round the most-wandering hold-down For-as-many-as and with-the
ὀθονίοισι μὴ εὐκαταλήπτως, μηδὲ εὐαναλήπτως ἔχει, ῥάμμασι
linen-strips not easily-secured nor easily-supported it-is with-stitches
τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυῤῥαφῆς.
the supports to-make from turn-down or sewing-together

10 Ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτά. Ἑλίσσειν
Bandages clean light soft thin To-roll
ἀμφοτέρῃσιν ἅμα, καὶ ἑκατέρῃ χωρὶς ἀσκέειν. Τῇ
with-both at-once and with-each apart to-practice With-the
πρεπούσῃ δὲ, ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν μορίων
fitting and for the breadths and the thicknesses of-the parts
τεκμαιρόμενον, χρέεσθαι. Ἑλίξιος κεφαλαὶ σκληραὶ, ὁμαλαὶ,
judging to-use Of-rolling heads hard even
εὐκρινέες. Τὰ δὲ δὴ μέλλοντα ἀποπίπτειν κακίω ταχέως
distinct The but indeed about-to fall-off worse quickly
ἀποπεσόντων· τὰ δὲ, ὡς μήτε πιέζειν, μήτε ἀποπίπτειν.
falling-off the but so-as neither to-press nor to-fall-off
11 Ὧν δὲ ἔχεται ἢ ἐπίδεσις, ἢ ὑπόδεσις, ἢ ἀμφότερα·
Of-which and is-held either bandaging or under-bandaging or both
ὑπόδεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστεῶτα προστεῖλαι,
under-bandaging indeed cause so-as either standing-off to-draw-together
ἢ ἐκπεπταμένα συστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι,
or spread-out to-contract or contracted to-spread-apart
ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία. Παρασκευάζειν
or twisted to-set-straight or the-opposite To-prepare
δὲ ὀθόνια κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, μὴ
and linen-strips light thin soft clean broad not
ἔχοντα ξυῤῥαφὰς, μηδ' ἐξαστίας, καὶ ὑγιέα, ὥστε τάνυσιν
having seams nor frayed-edges and sound so-as stretching
φέρειν, καὶ ὀλίγῳ κρέσσω, μὴ ξηρὰ, ἀλλ' ἔγχυμα χυμῷ,
to-bear and a-little stronger not dry but moistened with-juice
ᾧ ἕκαστα ξύντροφα. Ἀφεστεῶτα μὲν, ὥστε τὰ
with-which each akin Standing-off indeed so-as the
μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή· ἄρχεσθαι
raised of-the seat to-touch indeed to-press but not to-begin
δὲ ἐκ τοῦ ὑγιέος, τελευτᾷν δὲ πρὸς τὸ ἕλκος, ὡς
and from the sound to-end and toward the wound so-that

τὸ μὲν ὑπεὸν ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπιξυλλέγηται·
the indeed underlying be-squeezed-out other and not collect-besides
ἐπιδεῖν τὰ μὲν ὀρθὰ ἐς ὀρθὸν, τὰ δὲ λοξὰ λοξῶς, ἐν
to-bandage the indeed straight in straight the but oblique obliquely in
σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις, μήτε ἀπόστασις
posture painless in which neither constriction nor standing-off
ἔσται τις, ἐξ οὗ, ὅταν μεταλλάσσῃ ἢ ἐς ἀνάληψιν
will-be any from which when it-change either to support
ἢ ἐς θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ' ὅμοια ταῦτα ἕξουσι,
or to placing not will-change but alike these will-have
μύες, φλέβες, νεῦρα, ὀστέα, ᾗ μάλιστα εὖθετα καὶ
muscles veins sinews bones where most well-placed and
εὖσχετα· ἀναλελάφθαι δὲ, ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ
well-held to-be-supported and or to-lie in posture painless
τῷ κατὰ φύσιν· ὧν δὲ ἂν ἀποστῇ, τἀναντία.
the according-to nature of-which and — stand-off the-opposite
Ὧν δὲ ἐκπεπταμένα ξυστεῖλαι, τὰ μὲν ἄλλα κατὰ
Of-which and spread-out to-contract the indeed other according-to
τὰ αὐτὰ, ἐκ πολλοῦ δέ τινος δεῖ τὴν ξυναγωγὴν, καὶ
the same from much but somewhat must the bringing-together and
ἐκ προσαγωγῆς τὴν πίεξιν, τὸ πρῶτον ἥκιστα, ἔπειτα
from approach the pressure the first least then
ἐπὶ μᾶλλον, ὅριον τοῦ μάλιστα τὸ ξυμψαύειν. Ὧν δὲ
over more limit of-the most the to-touch-together Of-which and
ξυνεσταλμένα διαστεῖλαι, ξὺν μὲν φλεγμονῇ τἀναντία· ἄνευ
contracted to-spread-apart with indeed inflammation the-opposite without
δὲ ταύτης, παρασκευῇ μὲν τῇ αὐτῇ, ἐπιδέσει δὲ ἐναντίῃ.
but this with-preparation indeed the same with-bandaging but opposite
Διεστραμμένα δὲ διορθῶσαι, τὰ μὲν ἄλλα κατὰ τὰ
Twisted and to-set-straight the indeed others according-to the

αὐτά· δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπαγαγεῖν ὑποδέσει,
same must and the indeed gone-away to-bring-back with-under-bandaging
παρακολλήσει, ἀναλήψει· τὰ δὲ ἐναντία, ἐναντίως.
with-gluing with-support the but opposite oppositely

II · SPLINTS, WATER, POSTURE, AND PRESSURE

For fractures the compresses, rollers, and splints have set sizes; the bandage starts at the injury, presses most there, and takes in much sound flesh. Warm water is poured until the part swells, stopping before it falls; the limb lies soft and sloping upward. Loose by the third day, the bandage is tightened at each change; splints go on at the seventh, to stay until the twentieth. Bruises, sprains, and wasting are bandaged to drive out blood, correct the part, or feed it; props guard heads and chests.

12 Κατήγμασι δὲ, σπληνῶν μήκεα, πλάτεα, πάχεα, πλήθεα·
For-fractures and of-compresses lengths breadths thicknesses numbers
μῆκος, ὅση ἡ ἐπίδεσις· πλάτος τριῶν ἢ τεσσάρων
length as-much-as the bandaging breadth of-three or four
δακτύλων· πάχος, τριπτύχους ἢ τετραπτύχους· πλῆθος,
fingers thickness three-fold or four-fold number
κυκλεῦντας μὴ ὑπερβάλλειν, μηδὲ ἐλλείπειν· οἷσι δὲ
going-round not to-exceed nor to-fall-short for-whom and
ἐς διόρθωσιν, μῆκος, κυκλεῦντα· πλάτος καὶ πάχος τῇ
for setting-straight length going-round breadth and thickness by-the
ἐνδείῃ τεκμαίρεσθαι, μὴ ἀθρόα πληρεῦντα. Τῶν δὲ
deficiency to-judge not all-at-once filling Of-the and
ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο· τῇ πρώτῃ ἐκ τοῦ σίνεος
linen-strips under-bandages are two the first from the injury
ἐς τὸ ἄνω τελευτώσῃ, τῇ δὲ δευτέρῃ, ἐκ τοῦ σίνεος
to the upper-part ending the and second from the injury
ἐς τὸ κάτω, ἐκ τοῦ κάτω ἐς τὸ ἄνω τελευτώσῃ·
to the lower-part from the lower-part to the upper-part ending

τὰ κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα,
the at the injury to-press most least the extremities
τὰ δὲ ἄλλα κατὰ λόγον. Ἡ δὲ ἐπίδεσις πουλὺ τοῦ
the and others in proportion The and bandaging much of-the
ὑγιέος προσλαμβανέτω. Ἐπιδέσμων δὲ πλῆθος, μῆκος,
sound let-take-in Of-bandages and number length
πλάτος· πλῆθος μὲν, μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ
breadth number indeed not to-fall-short of-the injury nor
νάρθηξιν ἐνέρεισιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίῤῥειψιν, μηδὲ
for-splints support to-be nor weight nor slipping-round nor
ἐκθήλυνσιν· μῆκος δὲ καὶ πλάτος, τριῶν, ἢ τεσσάρων,
slackening length but and breadth of-three or four
ἢ πέντε, ἢ ἓξ, πήχεων μὲν μῆκος, δακτύλων δὲ
or five or six cubits indeed in-length fingers and
πλάτος.
in-breadth
Καὶ παραιρήματος περιβολαὶ τοσαῦται, ὥστε μὴ
And of-the-padding turns so-many so-as not
πιέζειν· μαλθακὰ δὲ, μὴ παχέα· ταῦτα πάντα, ὡς
to-press soft and not thick these all as
ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος.
for length and breadth and thickness of-the affected-part
Νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ κατ' ἄκρα, σμικρῷ
Splints and smooth even snub at the-ends a-little
μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσιος, παχύτατοι
shorter on-this-side and on-that than-the bandaging thickest
δὲ, ᾗ ἐξήριπε τὸ κάτηγμα. Ὁκόσα δὲ κυρτὰ καὶ
and where gave-way the fracture As-many-as and convex and
ἄσαρκα φύσει, φυλασσόμενον τῶν ὑπερεχόντων, οἷον
fleshless by-nature guarding the projecting-parts as
κατὰ δακτύλους ἢ σφυρὰ, ἢ τῇ θέσει, ἢ τῇ
at fingers or ankles either by-the placing or by-the

βραχύτητι. Παραιρήμασι δὲ ἑρμάζειν, μὴ πιέζειν τὸ
shortness With-paddings and to-fit not to-press the
πρῶτον. Κηρωτῇ μαλθακῇ, καὶ λείῃ, καὶ καθαρῇ
first With-cerate soft and smooth and clean
ἑλισσέσθω.
let-it-be-rolled

13 Ὕδατος θερμότης, πλῆθος· θερμότης μὲν, κατὰ τῆς
Of-water warmth amount warmth indeed down-over the
ἑωυτοῦ χειρὸς καταχεῖν· πλῆθος δὲ, χαλάσαι μὲν
one's-own hand to-pour amount and to-relax indeed
καὶ ἰσχνῆναι τὸ πλεῖστον, ἄριστον, σαρκῶσαι δὲ καὶ
and to-make-lean the most best to-fill-with-flesh but and
ἀπαλῦναι, τὸ μέτριον· μέτρον δὲ τῆς καταχύσιος,
to-soften the moderate measure and of-the pouring
ἔτι μετεωριζομένου, δεῖ, πρὶν ξυμπίπτειν,
while-still being-raised it-is-needful before to-collapse
παύεσθαι· τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ
to-stop the indeed for first rises then and
ἰσχναίνεται.
is-made-lean

14 Θέσις δὲ μαλθακὴ, ὁμαλὴ, ἀνάῤῥοπος τοῖσιν ἐξέχουσι
Placing and soft even upward-sloping for-the projecting
τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, ὡς μήτε
of-the body as heel and hip so-that neither
ἀνακλᾶται, μήτε ἀποκλᾶται, μήτε ἐκτρέπηται.
be-bent-back nor be-bent-off nor be-turned-aside
Σωλῆνα παντὶ τῷ σκέλει, ἢ ἡμίσει· ἐς τὸ
Trough for-whole the leg or for-half to the
πάθος δὲ βλέπειν καὶ τἆλλα ὅσα βλάπτει
affection and to-look and the-rest as-many-as harm
δῆλα.
plain

Πάρεξις δὲ, καὶ διάτασις, καὶ ἀνάπλασις, καὶ τὰ ἄλλα 15
Presentation but and stretching and reshaping and the others
κατὰ φύσιν. Φύσις δὲ ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ
according-to nature Nature and in indeed works of-the work by-the
πρήξει, ὃ βούλεται, τεκμαρτέον· ἐς δὲ ταῦτα, ἐκ τοῦ
doing what it-wishes is-to-be-judged for and these from the
ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος· ἐκ μὲν τοῦ
resting from the common from the habit from indeed the
ἐλινύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον
resting and let-go the straight-lines to-examine as
τὸ τῆς χειρός· ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, ξύγκαμψιν,
the of-the hand from and the common extension bending
οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα· ἐκ
as the near the right-angled of-forearm to upper-arm from
δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον,
and the habit that not other postures to-bear more-able
οἷον σκέλεος ἔκτασιν· ἀπὸ τουτέων γὰρ ῥᾳϊστα πλεῖστον
as of-leg extension from these for most-easily most
χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. Ἐν δὲ τῇ
time it-could-hold — not changing In and the
μεταλλαγῇ ἐκ διατάσιος ὅμοια ταῦτα ἕξουσιν ἐς ἕξιν ἢ
change from stretching like these will-have to state or
θέσιν μύες, φλέβες, νεῦρα, ὀστέα, ᾗ μάλιστα εὖθετα
placing muscles veins sinews bones where most well-placed
καὶ εὔσχετα.
and well-held

Διάτασις μάλιστα, τὰ μέγιστα καὶ πάχιστα, καὶ ὅκου 16
Stretching most the greatest and thickest and where
ἀμφότερα· δεύτερα, ὧν τὸ ὑποτεταγμένον· ἥκιστα,
both second of-which the underlying least
ὧν τὸ ἄνω· μᾶλλον δὲ τοῦ μετρίου, βλάβη,
of-which the upper more and than-the moderate harm

πλὴν παιδίων· ἔχειν ἀνάντη σμικρόν. Διορθώσιος
except of-children to-hold uphill a-little Of-setting-straight
παράδειγμα, τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ
model the same-named the paired the like the
ὑγιές.
sound

17 Ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι· ἡ
Rubbing can to-loosen to-bind to-fill-with-flesh to-waste the
σκληρὴ, δῆσαι· ἡ μαλακὴ, λῦσαι· ἡ πολλὴ, μινυθῆσαι·
hard to-bind the soft to-loosen the much to-waste
ἡ μετρίη, παχῦναι.
the moderate to-thicken

18 Ἐπιδεῖν δὲ τὸ πρῶτον· ὁ μὲν ἐπιδεδεμένος μάλιστα
To-bandage and the first the indeed bandaged-man most
φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα·
let-him-say to-have-been-pressed at the injury least the extremities
ἡρμάσθαι δὲ, μὴ πεπιέχθαι· πλήθει, μὴ ἰσχύϊ· τὴν
to-have-been-fitted but not to-have-been-pressed by-amount not by-strength the
δὲ ἡμέρην ταύτην καὶ νύκτα, ὀλίγῳ μᾶλλον, τὴν δ'
and day this and night a-little more the and
ὑστέρην, ἧσσον· τρίτη, χαλαρά. Εὑρεθήτω δὲ τῇ μὲν
next less third loose Let-there-be-found and on-the indeed
ὑστεραίῃ ἐν ἄκροισιν οἴδημα μαλθακόν· τῇ τρίτῃ δὲ
next-day in extremities swelling soft on-the third and
τὸ ἐπιδεθὲν λυθὲν, ἰσχνότερον, παρὰ πάσας τὰς ἐπιδέσιας
the bandaged loosened thinner at all the bandagings
τοῦτο. Τῇ δὲ ὑστεραίῃ ἐπιδέσει, ἢν δικαίως ἐπιδεδεμένον
this On-the and next-day bandaging if rightly bandaged
φανῇ, μαθεῖν δεῖ· ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσι
it-appear to-learn it-is-needful from-here and more and over more
πιεχθήτω· τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλέοσιν.
let-it-be-pressed on-the and third yet more and over more

Τῇ δὲ ἑβδόμῃ ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα,
On-the and seventh from the first bandaging loosened
εὑρεθήτω ἰσχνὰ, χαλαρὰ τὰ ὀστέα. Ἐς δὲ νάρθηκας,
let-be-found thin loose the bones Into and splints
δεθέντα, ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐᾷν
bound if thin and itchless and ulcerless it-be to-leave
μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος· ἢν δέ τι
until twenty days from the injury if but something
ὑποπτεύηται, λῦσαι ἐν τῷ μέσῳ· νάρθηκας διὰ τρίτης
be-suspected to-loosen in the middle splints every the-third-day
ἐρείδειν.
to-press

Ἡ ἀνάληψις, ἡ θέσις, ἡ ἐπίδεσις, ὡς ἐν τῷ αὐτῷ 19
The support the placing the bandaging so-as in the same
σχήματι διαφυλάσσειν. Κεφάλαια σχημάτων, ἔθεα, φύσιες
posture to-preserve Chief-points of-postures habits natures
ἑκάστου τῶν μελέων· τὰ εἴδεα, ἐκ τοῦ τρέχειν,
of-each of-the limbs the forms from the running
ὁδοιπορέειν, ἑστάναι, κατακεῖσθαι, ἐκ τοῦ ἔργου, ἐκ τοῦ
walking standing lying from the work from the
ἀφεῖσθαι.
being-let-go

Ὅτι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει. 20
That use strengthens idleness and melts

Ἡ πίεξις πλήθει, μὴ ἰσχύϊ. 21
The pressure by-amount not by-strength

Ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, 22
As-many-as and extravasations or bruises or strains
ἢ οἰδήματα ἀφλέγμαντα, ἐξερύεται αἷμα ἐκ τοῦ
or swellings uninflamed drives-out blood from the
τρώματος, ἐς μὲν τὸ ἄνω τοῦ σώματος πλεῖστον,
wound to indeed the upper of-the body most

βραχὺ δέ τι καὶ ἐς τὸ κάτω· μὴ κατάντη τὴν
a-little and some also to the lower not sloping the
χεῖρα ἔχοντα, ἢ τὸ σκέλος· τιθέμενον τὴν ἀρχὴν
hand having or the leg placing the beginning
κατὰ τὸ τρῶμα, καὶ μάλιστα ἐρείδοντα, ἥκιστα τὰ
at the wound and most pressing least the
ἄκρα, μέσως τὰ διὰ μέσου· τὸ ἔσχατον πρὸς τὰ
extremities moderately the through middle the last toward the
ἄνω τοῦ σώματος νεμόμενον· ἐπιδέσει, πιέξει· ἀτὰρ
upper of-the body ranging by-bandaging by-pressure but
καὶ ταῦτα, πλήθει μᾶλλον, ἢ ἰσχύϊ· μάλιστα δὲ
also these by-amount more than by-strength most and
τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ,
for-these linen-strips thin light soft clean
πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων· καὶ καταχύσει
broad sound as — without splints and pouring
χρῆσθαι.
to-use

23 Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα,
The and dislocations or sprains or separations
ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα,
or tearings-off or breakings-off or distortions
οἷα τὰ κυλλὰ, τὰ ἑτερόῤῥοπα, ὅθεν μὲν ἐξέστη,
such-as the club-footed the inclining-one-way whence indeed it-stood-out
ξυνδιδόντα, ὅπη δὲ ξυντείνοντα, ὡς ἐς τἀναντία ῥέπῃ,
relaxing where but tightening so-that to the-opposite it-incline
ἐπιδεθέντα, ἢ πρὶν ἐπιδεθῆναι, σμικρῷ μᾶλλον, ἢ
bandaged or before to-be-bandaged a-little more than
ὥστε ἐξ ἴσου εἶναι· καὶ τοῖσιν ἐπιδέσμοισι, καὶ τοῖσι
so-as from equal to-be both with-the bandages and with-the
σπλήνεσι, καὶ τοῖσιν ἀναλήμμασι, καὶ τοῖσι σχήμασι,
compresses and with-the supports and with-the postures

κατατάσει, ἀνατρίψει, διορθώσει, ταῦτα καὶ καταχύσει
extension rubbing setting-straight these and pouring
πλείονι.
more

Τὰ δὲ μινυθήματα, πουλὺ προσλαμβάνοντα τοῦ ὑγιέος, 24
The and wastings much taking-in of-the sound
ἐπιδεῖν ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ ξυντακέντα πλέον ἢ
to-bandage so-that — from inflow the melted more than
αὐτὰ ἐμινύθει, ἀλλοίῃ τῇ ἐπιδέσει παραλλάξαντα,
they-themselves wasted with-different the bandaging having-changed
ἐκκλίνειν ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν
to-turn into the growth and reshaping of-the flesh
ποιήσηται. Βέλτιον δὲ καὶ τὸ ἄνωθεν, οἷον κνήμης, καὶ
it-make Better and also the above as of-leg and
τὸν ἕτερον μηρὸν, καὶ τὸ σκέλος τὸ ὑγιὲς συνεπιδεῖν,
the other thigh and the leg the sound to-bandage-with
ὡς ὁμοιότερον ᾖ, καὶ ὁμοίως ἐλινύῃ, καὶ ὁμοίως
so-that more-alike it-be and equally it-rest and equally
τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται· ὀθονίων πλήθει,
from-the nourishment be-shut-off and receive of-linen-strips by-amount
μὴ πιέξει· ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον, καὶ
not by-pressure loosening first the most needing and
ἀνατρίψει χρώμενον σαρκούσῃ, καὶ καταχύσει· ἄνευ
with-rubbing using flesh-forming and pouring without
ναρθήκων.
splints

Τὰ δὲ ἑρμάσματα καὶ ἀποστηρίγματα, οἷον στήθει, 25
The and supports and props as for-chest
πλευρῇσι, κεφαλῇ, καὶ τοῖσιν ἄλλοισιν, ὅσα τοιαῦτα·
for-ribs for-head and for-the others as-many-as such
τὰ μὲν, σφυγμῶν ἕνεκεν, ὡς μὴ ἐνσείηται· τὰ
the-ones indeed of-pulsations for-the-sake so-that not they-be-shaken the-others

δὲ, καὶ τῶν διαστασίων τῶν κατὰ τὰς ἁρμονίας ἐν
and also of-the separations of-the at the sutures in
τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν, ἐρεισμάτων χάριν·
the at the head bones of-props for-the-sake
ἐπί τε βηχέων, ἢ πταρμέων, ἢ ἄλλης κινήσιος, οἷα
on both coughs or sneezes or other motion such-as
τὰ κατὰ θώρηκα καὶ κεφαλὴν ἀποστηρίγματα γίγνεται.
the at chest and head props become
Τουτέων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι τῆς ἐπιδέσιος·
Of-these all the same proportions of-the bandaging
ᾗ μὲν γὰρ τὰ σίνη, μάλιστα πιέζει· ὑποτιθέναι
where indeed for the injuries most press to-place-under
οὖν μαλθακόν τι ἁρμόζον τῷ πάθει· ἐπιδεῖν δὲ
then soft something fitting to-the affection to-bandage and
μὴ μᾶλλον πιεζεῦντα, ἢ ὥστε τοὺς σφυγμοὺς μὴ
not more pressing than so-as the pulsations not
ἐνσείειν, μηδὲ μᾶλλον ἢ ὥστε τῶν διεστηκότων τὰ
to-shake nor more than so-as of-the separated the
ἔσχατα τῶν ἁρμονιῶν ψαύειν ἀλλήλων, μηδὲ τὰς
extremities of-the sutures to-touch one-another nor the
βῆχας καὶ τοὺς πταρμοὺς ὥστε κωλύειν, ἀλλ' ὥστε
coughs and the sneezes so-as to-hinder but so-as
ἀποστήριγμα εἶναι, ὡς μήτε διαναγκάζηται, μήτε
prop to-be so-that neither it-be-forced-apart nor
ἐνσείηται.
be-shaken

HIPPOCRATES

ΠΕΡΙ ΕΛΚΩΝ

On Ulcers

Ulcers should be wetted only with wine, unless in a joint, and kept dry, since the dry is nearer the sound. Little food and water suit all ulcers, and an ulcerated leg needs rest. A bruised ulcer should suppurate quickly and a clean cut be dried, and bleeding helps fresh ulcers and old; poultices go round the ulcer, not on it, and oil suits none. Purging suits most ulcers and erysipelas, and drugs go on only when the ulcer is dry. An ulcer fed by a varicose vein will not close until its surroundings are sound, and livid edges mark rot. Poultices of mullein, flax, lentil, and woad follow.

Ἕλκεα ξύμπαντα οὐ χρὴ τέγγειν, πλὴν οἴνῳ, ἢν μὴ 1
Ulcers all not one-must to-wet except with-wine if not
ἐν ἄρθρῳ ἔῃ τὸ ἕλκος τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω
in joint be the ulcer the for dry to-the sound nearer
ἐστὶ, καὶ τὸ ὑγρὸν τοῦ μὴ ὑγιέος· τὸ γὰρ ἕλκος ὑγρόν ἐστι,
is and the moist to-the not sound the for ulcer moist is
τὸ δὲ ὑγιὲς ξηρόν. Ἀνεπίδετον δὲ ἐᾷν ἄμεινόν ἐστιν, ὅ
the but sound dry Unbandaged and to-leave better is what
τι γε μὴ καταπλάσσεται· οὐδὲ καταπλάσσειν ἐνδεχόμενόν
— at-least not is-poulticed nor to-poultice admissible
ἐστιν ἔνια τῶν ἑλκέων, μᾶλλον δὲ τὰ νεότρωτα τῶν
is some of-the ulcers more and the fresh than-the
παλαιοτέρων, καὶ τὰ ἐν τοῖσιν ἄρθροισιν. Ὀλιγοσιτέειν
older and the in the joints To-eat-little
τε ὡς μάλιστα καὶ ὕδωρ ξυμφέρει πᾶσι τοῖσιν ἕλκεσι,
both as most and water is-of-advantage to-all the ulcers
μᾶλλον δὲ τοῖσι νεοτρώτοισι τῶν παλαιοτέρων, καὶ ὅ
more but to-the fresh than-the older and what
τι ἄλλο φλεγμαίνει ἕλκος ἢ μέλλει, καὶ ὅ τι σφακελίσαι
— other is-inflamed ulcer or is-about and what — to-mortify
κίνδυνος, καὶ τοῖσιν ἕλκεσι καὶ φλέγμασι τοῖσιν ἐν τοῖσιν
danger and to-the ulcers and inflammations the in the

ἄρθροισι, καὶ ὅκου σπασμοὺς κίνδυνος ἐπιγενέσθαι, καὶ
joints and where spasms danger to-come-on and
τοῖσιν ἐν κοιλίῃ τρώμασι, πάντων δὲ μάλιστα τοῖσιν ἐν
to-the in belly wounds of-all and most to-the in
κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι, καὶ ἄλλῳ ᾧ κάτηξις ἂν
head and thigh broken and other in-which fracture —
γένηται, Ἑστάναι δ' ἕλκεσι ἥκιστα ξυμφέρει, καὶ ἄλλως
occur To-stand and for-ulcers least is-of-advantage and otherwise
ἢν ἐν τῷ σκέλεϊ ἔχῃ τὸ ἕλκος, οὐδὲ καθῆσθαι οὐδὲ
if in the leg be-have the ulcer nor to-sit nor
πορεύεσθαι· ἀλλ' ἡσυχίη καὶ ἀτρεμίη ξυμφέρει μάλιστα.
to-walk but rest and stillness is-of-advantage most
Τὰ δὲ νεότρωτα ἕλκεα πάντα ἥκιστα ἂν φλεγμήναιεν
The and fresh ulcers all least — would-be-inflamed
αὐτά τε καὶ τὰ περιέχοντα, εἴ τις διαπυΐσκοι
themselves both and the surrounding-parts if anyone should-make-suppurate
ὡς τάχιστα, καὶ τὸ πῦον μὴ ἀπολαμβανόμενον ἀπὸ
as quickly-as-possible and the pus not intercepted from
τοῦ ἕλκεος τοῦ στόματος ἴσχοιτο, ἢ εἴ τις ἀποτρέποι
the ulcer of-the mouth should-be-held or if anyone should-turn-aside
ὅκως μηδὲ μελλήσει διαπυῆσαι πλὴν τοῦ ἀναγκαίου πύου
so-that not-even it-delay to-suppurate except the necessary pus
ὀλιγίστου, ἀλλὰ ξηρὸν εἶναι ὡς μάλιστα φαρμάκῳ μὴ
least but dry to-be as most with-drug not
περισκελεΐ. Πυρῶδες γὰρ γίνεται, ἐπὴν φρίκη ἐγγένηται
too-drying Feverish for it-becomes when shivering come-in
καὶ σφυγμός· φλεγμαίνει γὰρ τὰ ἕλκεα τότε, ὁκόταν
and throbbing are-inflamed for the ulcers then when
διαπυῆσαι μέλλῃ· διαπυεῖ δὲ, ἀλλοιουμένου τοῦ αἵματος
to-suppurate it-be-about suppurates and being-altered the blood
καὶ θερμανθέντος, ἕως σαπὲν πῦον γένηται. Τῶν τοιούτων
and heated until rotted pus it-become Of-the such

ἑλκέων, ὅταν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ
ulcers when it-seem to-need poulticing not one-must itself
τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ τὰ περιέχοντα, ὅκως τὸ
the ulcer to-poultice but the surrounding-parts so-that the
πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα μαλαχθῇ. Τῶν δὲ
pus go-away and the hardened be-softened Of-the and
ἑλκέων, ὅπερ μὲν ἂν ὀξέϊ βέλεϊ διατμηθῇ ἢ διακοπῇ,
ulcers which-very indeed — by-sharp missile be-cut-through or cut-apart
ἐνδέχεται ἔναιμον φάρμακον καὶ τὸ κωλῦον διαπυεῖν
admits blood-dressing drug and the preventing to-suppurate
ἀναξηραϊνόν τι. Ἥ τις δ' ὑπὸ τοῦ βέλεος ἐφλάσθη
drying somewhat Which some but by the missile was-bruised
καὶ ἐκόπη σὰρξ, ταύτην δὲ ἰητρεύειν, ὅκως διάπυος ὡς
and was-pounded flesh this and to-treat so-that suppurating as
τάχιστα γένηται· ἧσσόν τε γὰρ φλεγμαίνει· καὶ ἀνάγκη
quickly-as-possible it-become less both for it-is-inflamed and necessity
τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας σαπείσας καὶ
the flesh the bruised and pounded rotted and
πῦον γενομένας ἐκτακῆναι, ἔπειτα βλαστάνειν νέας σάρκας.
pus having-become to-melt-away then to-sprout new flesh
Ἕλκεϊ νεοτρώτῳ παντὶ, πλὴν ἐν κοιλίῃ, ξυμφέρει ἐκ 2
For-ulcer fresh every except in belly it-is-of-advantage from
τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον ἢ ἔλασσον·
the wound blood to-flow at-once more or less
φλεγμαίνει γὰρ ἧσσον αὐτὸ τὸ ἕλκος καὶ τὰ περιέχοντα.
is-inflamed for less itself the ulcer and the surrounding-parts
Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα
And from the inveterate ulcers it-is-of-advantage blood
ποιέειν ἀπορῥέειν πυκνὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι,
to-make to-flow-off often as — it-seem the-right-time to-be
καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων καὶ τῶν περιεχόντων τὸ
both from the-very the ulcers and the surrounding the

ἕλκος, ἄλλως τε καὶ ἢν ἐν κνήμῃ ἔῃ τὸ ἕλκος ἢ ἐν
ulcer otherwise both and if in leg be the ulcer or in
δακτύλῳ ποδὸς ἢ χειρὸς, μᾶλλον ἤ κου ἄλλοθι τοῦ
toe of-foot or of-hand more than anywhere elsewhere of-the
σώματος· γίνεται γὰρ, ἀποῤῥέοντος τοῦ αἵματος, ξηρότερα
body they-become for flowing-off the blood drier
καὶ μείονα ἰσχναινόμενα· κωλύει γὰρ μάλιστα μὲν τὰ
and smaller being-made-lean hinders for most indeed the
τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι, ἔπειτα δὲ καὶ τἄλλα ξύμπαντα
such ulcers to-be-healed then and also the-other all
αἵματος σηπεδὼν, καὶ ὅ τι ἐξ αἵματος μεταστάσιος
of-blood putrefaction and what — from of-blood shifting
γεγένηται. Ξυμφέρει δὲ μετὰ τὴν τοῦ αἵματος ἀποῤῥοὴν
has-arisen It-is-of-advantage and after the of-the blood flowing-off
ἐπὶ τῶν τοιούτων ἑλκέων καὶ σπόγγον ἐπιδεῖν πυκνὸν καὶ
on the such ulcers also sponge to-bandage dense and
μαλθακὸν, τετμημένον, ξηρότερον ἢ ὑγρότερον, καὶ
soft cut drier rather-than moister and
ἐπὶ τῷ σπόγγῳ ἄνωθεν φύλλα συχνὰ τίθεσθαι. Ἔλαιον
on the sponge above leaves many to-be-placed Oil
δὲ καὶ ὅσα μαλθακώδεα ἢ ἐλαιώδεά ἐστι φάρμακα, οὐ
but and as-many-as soft or oily are drugs not
ξυμφέρει τοῖσι τοιούτοισιν ἕλκεσιν, ἢν μὴ πάνυ ἤδη πρὸς
is-of-advantage to-the such ulcers if not very already toward
ὑγιείην τείνῃ. Οὐδὲ τοῖσι νεοτρώτοισιν ἕλκεσι ξυμφέρει
health it-tend Not-even to-the fresh ulcers is-of-advantage
ἔλαιον, οὐδὲ μαλθακώδεα οὐδὲ στεατώδεα φάρμακα, ἄλλως
oil nor soft nor fatty drugs otherwise
τε καὶ ὅ τι ἂν δέηται ἕλκος πλείονος καθάρσιος· τὸ δὲ
both and what — — need ulcer more cleansing the and

ξύμπαν εἰπεῖν, ἐλαίῳ τὴν χρῆσιν ποιέεσθαι καὶ ἐν θέρει καὶ
all-together to-say with-oil the use to-make both in summer and
ἐν χειμῶνι, πρὸς ἃ τῶν τοιούτων φαρμάκων δεόμεθα.
in winter for which of-the such drugs we-need
Ὑποκάθαρσις τῆς κάτω κοιλίης ξυμφέρει τοῖσι πλείστοισι 3
Purging of-the lower belly is-of-advantage for-the most
τῶν ἑλκέων καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ,
of-the ulcers and in wounds in head being and in belly
καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος, καὶ ὅσα
and in joints and as-many-as to-mortify danger and as-many-as
ῥαπτὰ, καὶ τοῖσιν ἐσθιομένοισι καὶ ἑρπυστικοῖσι, καὶ τοῖσιν
stitched and for-the being-eaten and spreading and for-the
ἄλλως πεπαλαιωμένοισιν ἕλκεσι, καὶ ὅκη ἂν μέλλῃ ἐπιδεῖν.
otherwise inveterate ulcers and where — one-be-about to-bandage
Οὐ χρὴ οὐδ' ἐμπλάσσειν τὰ φάρμακα, πρὶν ἂν πάνυ ξηρὸν 4
Not one-must not-even to-plaster-on the drugs before — very dry
ποιήσῃς τὸ ἕλκος· τότε δὲ δεῖ προστιθέναι, ἀνασπογγίζειν
you-make the ulcer then and must to-apply to-sponge-up
δὲ τὸ ἕλκος πολλάκις σπόγγῳ, καὶ αὖθις ὀθόνιον ξηρὸν
and the ulcer often with-sponge and again linen-strip dry
καὶ καθαρὸν προσίσχων πολλάκις, οὕτω δὲ ἐπιθεὶς
and clean applying often so and having-placed-on
τὸ φάρμακον τὸ δοκέον ξυμφέρειν, ἐπιδεῖν ἢ μὴ ἐπιδεῖν.
the drug the seeming to-be-of-advantage to-bandage or not to-bandage
Ἕλκεσι τοῖσι πλείστοισιν ὥρη ἡ θερμοτέρη ξυμφορωτέρη 5
For-ulcers for-the most season the warmer more-suitable
τοῦ χειμῶνος, πλὴν τοῖσιν ἐν κεφαλῇ καὶ κοιλίῃ, μᾶλλον
than-the winter except for-the in head and belly more
δὲ ἡ ἰσημερινή.
but the equinoctial

6 Τὰ ἕλκεα ὁκόσα μὴ καλῶς καθαρθέντα ἐς τὸ δέον ἀεὶ
The ulcers as-many-as not well cleansed to the needful always
πρότερον ἄρξεται βλαστάνειν, ταῦτα ὑπερσαρκέει μάλιστα·
earlier will-begin to-sprout these overgrow-with-flesh most
ὁκόσα δ' ἂν καθαρθέντα καλῶς τε καὶ ἐς τὸ δέον ἀεὶ
as-many-as but — cleansed well both and to the needful always
ἐπὶ τὸ ξηρότερον θεραπεύηται, πλὴν εἰ θλασθῇ, ταῦτα
toward the drier be-treated except if it-be-crushed these
δὲ οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πουλύ.
and not overgrow-with-flesh as for the most-part

7 Ἢν ὁκοθενοῦν ὀστέον ἀφιστῆται ἢ καυθὲν ἢ πρισθὲν ἢ
If from-anywhere bone come-away either cauterized or sawn or
ἄλλῳ τῳ τρόπῳ, τῶν ἑλκέων τούτων αἱ οὐλαὶ κοιλότεραι
in-other some way of-the ulcers of-these the scars more-hollow
γίνονται.
become

8 Ἕλκεα οὐ κεκαθαρμένα οὐκ ἐθέλει ξυνιέναι ξυναγόμενα,
Ulcers not cleansed not are-willing to-close being-brought-together
οὐδ' αὐτόματα ξυνέρχεται. Ὧν τὰ περιέχοντα φλεγμαίνει
nor of-themselves come-together Of-which the surrounding-parts are-inflamed
τοῦ ἕλκεος, ἔστ' ἂν μὴ παύσηται τῆς φλεγμασίης, οὐκ
of-the ulcer until — not it-cease from-the inflammation not
ἐθέλει ξυνιέναι· οὐδὲ ὧν τὰ περιέχοντα τοῦ ἕλκεος
are-willing to-close nor of-which the surrounding-parts of-the ulcer
μελανθῇ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος
be-blackened by-blood's putrefaction or also varicose-vein providing
τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, οὐδὲ ταῦτα ἐθέλει ξυνιέναι,
the afflux of-the blood nor these are-willing to-close
ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. Τῶν
if not the surrounding-parts of-the ulcer sound you-make Of-the
ἑλκέων τὰ κυκλοτερέα ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ πάντη
ulcers the circular if hollowed they-be in circle everywhere

ἐπιτάμνειν χρὴ τὰ ἀφεστεῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα
to-cut-into one-must the standing-off-parts either all or the halves
τοῦ κύκλου, κατὰ μῆκος τῆς φύσιος τοῦ ἀνθρώπου.
of-the circle along length of-the nature of-the man
Ἐπὶ παντὶ ἕλκεϊ ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν 9
On every ulcer erysipelas having-supervened purging
δεῖ ποιέεσθαι τοῦ σώματος, ἐφ' ὁκότερα ἂν ξυμφέρῃ
one-must to-make of-the body to whichever — it-be-of-advantage
τῷ ἕλκεϊ, εἴτε ἄνω, εἴτε κάτω.
to-the ulcer whether upward or downward
Ὅτῳ ἂν οἴδημα γένηται παρὰ τὸ ἕλκος, ἀφλεγμάντου ἐόντος 10
In-whom — swelling arise beside the ulcer uninflamed being
τοῦ ἕλκεος, χρόνῳ ὕστερον πύου ὑπόστασιν ἴσχει τὸ οἴδημα.
the ulcer in-time later of-pus settling has the swelling
Καὶ ὅ τι ἂν τῇ φλεγμασίῃ οἰδῆσαν μὴ καθιστῆται,
And what — — with-the inflammation having-swollen not subside
τῶν ἄλλων καθισταμένων, ὅσα ἅμα ἤρξατο φλεγμαίνειν
of-the others subsiding as-many-as at-once began to-be-inflamed
καὶ οἰδίσκεσθαι, καὶ τοῦτο κίνδυνος μηδ' ἅμα ξυνιέναι.
and to-swell also this danger not-even at-once to-close
Ὅσα δὲ πιπτόντων ἢ ἄλλῳ τῳ τρόπῳ διακόπτεται καὶ
As-many-as and of-falling or in-other some way are-cut-apart and
φλᾶται, καὶ ἀνοιδίσκεται τὰ περιέχοντα τὸ ἕλκος, καὶ,
are-bruised and swell-up the surrounding-parts the ulcer and
διαπυήσαντα, πῦον ἀπὸ τῶν οἰδημάτων ἀποχωρέει κατὰ τὸ
having-suppurated pus from the swellings goes-away at the
ἕλκος, τῶν τοιούτων ὅ τι ἂν δοκέῃ δεῖσθαι καταπλάσιος,
ulcer of-the such what — — seem to-need poulticing
οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ τὰ περιέχοντα,
not one-must itself the ulcer to-poultice but the surrounding-parts
ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα λαπαχθῇ·
so-that the pus go-away and the hardened be-softened

ἐπειδὰν δὲ λαπαχθῇ, καὶ ἡ φλεγμασίη παύσηται, ἐπὶ τὰ
when and it-be-softened and the inflammation cease to the
ἀφεστηκότα σπόγγους ἐπιδέων προσιστάναι, ἀρχόμενος ἀπὸ
standing-off-parts sponges binding-on to-apply beginning from
τοῦ ὑγιέος ὀλίγον προσχωρέων· ἐπὶ δὲ τῷ σπόγγῳ ἄνωθεν
the sound a-little advancing on and the sponge above
φύλλα ἐπέστω συχνά. Ὅ τι δ' ἂν μὴ δύνηται προστῆναι,
leaves let-be-placed many What — but — not can to-adhere
ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστίν· ταύτην ἐκβάλλειν.
the flesh moist being cause is this to-throw-out
Ἢν ὑπὸ βαθείῃ σαρκὶ τὸ ἕλκος ἔῃ, κατ' ἄμφω κἀκ
If under deep flesh the ulcer be at both both-from
τῆς ἐπιδέσιος κἀκ τοῦ προσπιέζοντος ὑποκιρσοῦται· τὸ
the bandaging and-from the pressing becomes-varicose the
δὴ τοιοῦτον ἤν τις τάμνῃ, πρὸς μήλην, ἢν ἐνδέχηται,
indeed such if anyone cut toward probe if it-admit
εὔροον ἀπὸ τοῦ στόματος τὸ ἕλκος ἀνατάμνειν, ὅπη
free-flowing from the mouth the ulcer to-cut-open where
ἂν δοκέῃ καιρὸς εἶναι, καὶ οὕτως ἰητρείην προσφέρειν,
— it-seem the-right-time to-be and so treatment to-apply
ὁκοίης ἂν δοκέῃ προσδεῖσθαι. Ὡς δὲ τὰ πολλὰ ἐπὶ παντὶ
of-what-sort — it-seem to-need-besides As but the most on every
ἕλκει, ὅ τι ἂν κοιλίην ἔχῃ πρὸς τὸ ἰθὺ, καταφανὲς
ulcer which — — hollow have toward the straight visible
ἰδεῖν, οἰδήματος μὴ προσεόντος· ἢν μὲν ἔῃ ἐν αὐτῷ
to-see of-swelling not being-present if indeed be in it
σηπεδὼν, ἢ ἡ σὰρξ ὑπέῃ μυδῶσα καὶ σαπρὴ, ἔσται
putrefaction or the flesh lie-under putrefying and rotten will-be
τοῦτο τὸ ἕλκος καὶ τὰ περιέχοντα τὸ ἕλκος ἰδεῖν μέλανα
this the ulcer and the surrounding the ulcer to-see black
ὑποπέλια· καὶ τῶν ἐσθιομένων ἑλκέων, ὅπη ἂν φαγέδαινα
somewhat-livid and of-the being-eaten ulcers where — phagedaena

ἐνέῃ, ἰσχυρότατά τε νέμηται καὶ ἐσθίῃ, ταύτῃ τοῦ ἕλκεος
be-in most-strongly both spread and eat there of-the ulcer
τὸ περιέχον χροιὴν ἕξει μέλαιναν ὑποπέλιον.
the surrounding-part color will-have black somewhat-livid
Καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖσι 11
Poultices of-swellings and of-inflammation of-the in the
περιέχουσιν· ἡ ἑφθὴ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα
surrounding-parts the boiled mullein and of-the trefoil the leaves
ὠμὰ, καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθὰ, καὶ τὸ πόλιον·
raw and of-the epipetrum the leaves boiled and the polium
ἢν δὲ καὶ καθαίρεσθαι δέῃ τὸ ἕλκος, πάντα μὲν καὶ
if but also to-be-cleansed it-be-needful the ulcer all indeed also
ταῦτα καθαίρει· ἀτὰρ καὶ τῆς συκῆς τὰ φύλλα καὶ τῆς
these cleanse but also of-the fig the leaves and of-the
ἐλαίης, καὶ τὸ πράσιον. Ἕψειν δὲ ταῦτα πάντα, μάλιστα
olive and the horehound To-boil and these all most
δὲ τούτων ἕψειν τὸν ἄγνον, καὶ τὴν συκῆν, καὶ τὴν
and of-these to-boil the chaste-tree and the fig and the
ἐλαίην, καὶ τῆς σίδης τὰ φύλλα ὡσαύτως ἕψειν. Ὠμοῖσι
olive and of-the pomegranate the leaves likewise to-boil With-raw
δὲ τοῖσίδε χρέεσθαι, τῆς μαλάχης τὰ φύλλα τρίβων
and these to-use of-the mallow the leaves pounding
ξὺν οἴνῳ, καὶ τοῦ πηγάνου τὰ φύλλα καὶ τῆς ὀριγάνου
with wine and of-the rue the leaves and of-the marjoram
χλωρῆς· πᾶσι τούτοισι χρὴ τοῦ λίνου τὸν καρπὸν
green with-all these one-must of-the flax the seed
φρύξαντα καὶ κόψαντα ὡς λειότατον μιγνύναι. Ὅκου δὲ
having-roasted and having-pounded as smoothest to-mix Where and
ἐρυσίπελας κίνδυνος ἐφ' ἕλκεσι γενέσθαι, τῆς ἰσάτιδος τὰ
erysipelas danger on ulcers to-arise of-the woad the

φύλλα τρίβων ὠμὰ καταπλάσσειν σὺν τῷ λίνῳ, ἢ τὸ
leaves pounding raw to-poultice with the flax or the
λίνον δεύων στρύχνου χυλῷ ἢ ἰσάτιδος καταπλάσσειν.
flax moistening of-nightshade with-juice or of-woad to-poultice
Ὅταν δὲ τὸ ἕλκος καθαρὸν μὲν ἔῃ, φλεγμαίνῃ δὲ τό τε
When and the ulcer clean indeed be be-inflamed but the both
ἕλκος καὶ τὰ περιέχοντα τοῦ ἕλκεος, φακὸν ἐν οἴνῳ ἑψήσας
ulcer and the surrounding-parts of-the ulcer lentil in wine having-boiled
καὶ τρίψας λεῖον, ἐλαίῳ ὀλίγῳ φυρήσας, καταπλάσας,
and having-pounded smooth with-oil little having-kneaded having-poulticed
ἐπιδεῖν· καὶ τοῦ κυνοσβάτου ἑψήσας τὰ φύλλα ἐν ὕδατι,
to-bandage and of-the dog-rose having-boiled the leaves in water
τρίψας λεῖα, καταπλάσσειν, ὀθόνιον ὑποτείνας
having-pounded smooth to-poultice linen-strip having-stretched-under
λεπτὸν καθαρὸν, οἴνῳ καὶ ἐλαίῳ τέγξας· καὶ ὅταν
fine clean with-wine and oil having-wetted and when
ξυνάγειν βούλῃ, τοῦ κυνοσβάτου τὰ φύλλα, ὥσπερ
to-bring-together you-wish of-the dog-rose the leaves as
τὸν φακὸν σκευάζειν. Σαυρίδιον, οἶνος καὶ λίνου καρπὸς
the lentil to-prepare Sauridion wine and of-flax seed
παραμίγνυται λεπτός· καὶ τόδε, ὁ τοῦ λίνου καρπὸς, καὶ
is-mixed-in fine and this the of-the flax seed and
ἄγνος ὠμὸς, καὶ μηλεία στυπτηρίη, ὄξει ταῦτα δευθέντα.
chaste-tree raw and Melian alum in-vinegar these moistened

A book of recipes: a long-cooked drug of unripe grape juice, honey, wine, myrrh, soda, and flower of copper for ulcers of the head, ear, and foreskin; others of ox bile, saffron, and oak roots; drying powders of lead and alum; blood dressings; remedies that fill hollow ulcers; the Carian drug of hellebore; and caustics of salt and honey.

Ὄμφακα λευκὴν ἐς χαλκεῖον θλίψας ἐρυθρὸν δι᾽ ἠθμοῦ, 12
Unripe-grape white into copper-vessel having-pressed red through strainer
πρὸς ἥλιον τιθέναι τὰς ἡμέρας, τὰς δὲ νύκτας αἴρειν,
toward sun to-place the days the and nights to-take-up
ὅκως μὴ δροσίζηται, ἀνατρίβειν δὲ τῆς ἡμέρης ἀπαύστως,
so-that not it-be-bedewed to-stir and of-the day unceasingly
ὡς ὁμαλῶς ξηραίνηται, καὶ ἀπὸ τοῦ χαλκείου ὡς ὅτι
so-that evenly it-be-dried and from the copper-vessel as —
πλεῖστον ἀναλαμβάνῃ, τιθέναι δὲ ἐς τὸν ἥλιον τοσοῦτον
most it-take-up to-place and into the sun so-much
χρόνον, ἔστ᾽ ἂν παχὺ γένηται ὥσπερ μέλι· ἔπειτα ἐς
time until — thick it-become like honey then into
χύτρην χαλκῆν ἐγχέαι, καὶ μέλι ὡς κάλλιστον, καὶ οἶνον
pot copper to-pour-in and honey as finest and wine
γλυκὺν, ἐναφεψήσας πρότερον ῥητίνην τερμινθίνην, ἕψειν
sweet having-boiled-in first resin terebinth to-boil
δὲ τὴν ῥητίνην ἐν τῷ οἴνῳ, ἕως ἂν σκληρὴ γένηται ὥσπερ
and the resin in the wine until — hard it-become like
μέλι ἑφθόν· ἔπειτα τὴν μὲν ῥητίνην ἐξελεῖν, τὸν δὲ οἶνον
honey boiled then the indeed resin to-take-out the and wine
ξυγχέαι· ἔστω δὲ πλεῖστος μὲν ὁ χυλὸς τῆς ὄμφακος,
to-pour-together let-be and most indeed the juice of-the unripe-grape
δεύτερον δὲ ὁ οἶνος, τρίτον δὲ τὸ μέλι· καὶ σμύρναν τὴν
second and the wine third and the honey and myrrh the

στακτὴν καὶ ἄλλως ὡς βελτίστην τρίψας λείην, διέσθαι
oozing and otherwise as best having-pounded smooth to-dissolve
τοῦ οἴνου τοῦ αὐτοῦ παρεγχέοντα κατ᾽ ὀλίγον· ἔπειτα ἕψειν
in-the wine the same pouring-in little-by little then to-boil
αὐτὴν ἐφ᾽ ἑωυτῆς τὴν σμύρναν ξὺν τῷ οἴνῳ ἀνακινέοντα,
itself by itself the myrrh with the wine stirring
ὅταν δὲ δοκέῃ ἤδη καλῶς ἔχειν τὸ πάχος, ξυγχέαι ἐς
when and it-seem already well to-have the thickness to-pour-together into
τὸν χυλὸν τῆς ὄμφακος, καὶ νίτρου ὡς ἄριστον φρύξας,
the juice of-the unripe-grape and soda as best having-roasted
ἡσύχως μιγνύναι ἐς τὸ φάρμακον, καὶ ἄνθος χαλκοῦ
gently to-mix into the drug and flower of-copper
ἔλασσον τοῦ νίτρου· ταῦτα δὲ ἐπειδὰν μίξῃς, ἕψειν μὴ
less than-the soda these and when you-mix to-boil not
ἔλασσον τριῶν ἡμερέων, ξύλοισι συκίνοισιν ὡς ὀλίγον
less than-three days with-wood of-fig as little
ὑποκαίοντα ἢ ἄνθραξιν, ὡς μὴ φρύγηται· καὶ ἐμβαλλόμενα
heating or with-coals so-that not it-be-roasted and the-things-put-in
πάντα ἄνυδρα ἔστω, καὶ τὰ ἕλκεα μὴ τεγγέσθω, ὅκη
all waterless let-be and the ulcers not let-be-wetted where
ἂν ἐπαλείφηται τοῦτο τὸ φάρμακον· χρῆσθαι δὲ τούτῳ
— *be-smeared this the drug to-use and this*
τῷ φαρμάκῳ πρὸς τὰ πεπαλαιωμένα ἕλκεα, καὶ πρὸς τὰ
the drug for the inveterate ulcers and for the
νεότρωτα, καὶ ἐς πόσθιον, καὶ ἐς κεφαλῆς ἕλκεα καὶ ὠτός.
fresh and on foreskin and on of-head ulcers and of-ear
— Φάρμακον ἕτερον τῶν αὐτέων ἑλκέων· χολὴ βοὸς
Drug other of-the same ulcers bile of-ox
ξηρὴ, μέλι ὡς κάλλιστον, οἶνος λευκός· ἐναφεψῆσαι δὲ
dry honey as finest wine white to-boil-in and
ἐν αὐτῷ λωτοῦ τορνεύματα· λιβανωτὸς, σμύρνα ἴση,
in it of-lotus turnings frankincense myrrh equal

κρόκος ἴσος, ἄνθος χαλκοῦ· ὁμοίως δὲ ὑγρῶν, οἶνος
saffron equal flower of-copper equally and of-liquids wine
πλεῖστος, μέλι δεύτερον, ὀλίγιστον ἡ χολή. — Ἕτερον·
most honey second least the bile Another
οἶνος, μέλι κέδρινον, ὀλίγον· τὰ δὲ ξηρὰ, ἄνθος χαλκοῦ,
wine honey cedar-oil little the and dry flower of-copper
σμύρνα, σίδιον αὖον. — Ἕτερον· ἄνθος χαλκοῦ ὀπτὸν
myrrh pomegranate-rind dried Another flower of-copper roasted
ἡμιμοίριον, σμύρνης δύο ἡμιμοίρια, κρόκου τρεῖς μοῖραι, μέλι
half-part of-myrrh two half-parts of-saffron three parts honey
ὀλίγον, σὺν οἴνῳ ὀπτώμενα. — Ἕτερον· λιβανωτοῦ μοῖρα,
little with wine being-roasted Another of-frankincense part
σμύρνης μοῖρα, κηκίδος μοῖρα, κρόκου τρεῖς μοῖραι· τούτων
of-myrrh part of-gall part of-saffron three parts of-these
ἕκαστον ξηρὸν τρίψας ὡς λειότατον, ἔπειτα μίξας,
each dry having-pounded as smoothest then having-mixed
τρίβειν ἐν ἡλίῳ ὡς θερμοτάτῳ, παραχέων χυλὸν ὄμφακος
to-pound in sun as hottest pouring-in juice of-unripe-grape
ἕως ἂν ἰξῶδες γένηται, ἐπὶ τρεῖς ἡμέρας· ἔπειτα οἴνῳ
until — sticky it-become for three days then with-wine
αὐστηρῷ μέλανι εὐώδεϊ παραχέων κατ᾽ ὀλίγον δίεσθαι. —
astringent dark fragrant pouring-in little-by little to-dissolve
Ἕτερον· ἐν οἴνῳ γλυκεῖ ἕψειν λευκῷ πρίνου ῥίζας·
Another in wine sweet to-boil white of-holm-oak roots
ἐπειδὰν δὲ δοκέῃ καλῶς ἔχειν, ἀποχέας, τοῦ οἴνου δύο
when and it-seem well to-be having-poured-off of-the wine two
μοίρας ποιῆσαι τοῦδε καὶ ἀμόργης ἐλαίου ὡς ἀνυδροτάτου
parts to-make of-this and of-dregs of-oil as most-waterless
μοῖραν μίαν, ἔπειτα ἕψειν, ἀνακινέων ὡς μὴ φρυγῇ,
part one then to-boil stirring so-that not it-be-roasted
μαλθακῷ πυρὶ, ἕως ἂν δοκέῃ τοῦ πάχεος καλῶς ἔχειν.
with-soft fire until — it-seem in-the thickness well to-be

— Ἕτερον· τὰ μὲν ἄλλα, τὰ αὐτά· ἀντὶ δὲ τοῦ οἴνου,
Another the indeed other the same instead-of but the wine
ὄξος ὡς ὀξύτατον ἔστω λευκόν· ἐμβάψαι δὲ ἐς αὐτὸ εἴρια
vinegar as sharpest let-it-be white to-dip and into it wools
ὡς οἰσυπώδεα· κἄπειτα δεύσας τῇ ἀμόργῃ ἕψειν· καὶ
as greasiest and-then having-moistened with-the dregs to-boil and
ὀπὸν ἐρινεοῦ ξυγχέαι, καὶ στυπτηρίην μηλείην, καὶ νίτρον
juice of-wild-fig to-pour-together and alum Melian and soda
καὶ ἄνθος χαλκοῦ μῖξαι ὀπτὰ ἀμφότερα. Τοῦτο μᾶλλον τοῦ
and flower of-copper to-mix roasted both This more than-the
προτέρου καθαίρει τὰ ἕλκεα, ξηραίνει δὲ τὸ πρότερον οὐχ
former cleanses the ulcers dries but the former not
ἧσσον. — Ἕτερον· τὰ εἴρια βάψαι ὡς ἐν ὀλιγίστῳ ὕδατι,
less Another the wools to-dip as in least water
ἔπειτα οἶνον ξυγχέας μέρος τρίτον, ἕψειν ἕως ἂν
then wine having-poured-together part third to-boil until —
καλῶς ἔχῃ τὸ πάχος. Ἀπὸ τῶνδε διαπυΐσκεσθαι ἐξέσται
well it-have the thickness From these to-suppurate it-will-be-possible
τὰ νεότρωτα τάχιστα. — Ἄλλο· ἄρον ξηρὸν ἐπιπάσσειν,
the fresh quickest Another arum dry to-sprinkle
καὶ στέλλειν. — Κράδης ἐν ὀπῷ φλοιὸν χλωρὸν τρίβων
and to-pack Of-fig-branch in juice bark green pounding
ἐν οἴνῳ ἐνστέλλειν, καὶ ἄνευ οἴνου αὐτὸν καὶ ξὺν μέλιτι. —
in wine to-pack-in and without wine it and with honey
Ἕτερον· ὄξος, ἐναφεψῶν λωτοῦ τορνεύματα, ἔστω δὲ λευκὸν
Another vinegar boiling-in of-lotus turnings let-be and white
τὸ ὄξος, κἄπειτα μῖξαι ἀμόργην ἐλαιέων καὶ ὀρρὸν πίσσης,
the vinegar and-then to-mix dregs of-olives and whey of-pitch
τοῦτο ὠμόν· καὶ ἐπαλείφειν, καὶ καταστάζειν, καὶ ἐπιδεῖν.
this raw and to-smear and to-drip and to-bandage

Ξηρὰ ἀποτρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι, ἢ ὄξει 13
Dry-things turn-aside the fresh to-suppurate either with-vinegar
ἀπονίψας, ἢ οἴνῳ ἀποσπογγίσας. Τὸν μόλιβον τὸν λεῖον
having-washed or with-wine having-sponged The lead the smooth
ξὺν τῇ σποδῷ τῇ κυπρίῃ λεανθέντα ἐπιπάσσειν· καὶ τοῦ
with the ash the Cyprian ground-smooth to-sprinkle and of-the
λωτοῦ τὰ ἰχθυήματα ἐπιπάσσειν, καὶ τὴν λεπίδα τοῦ χαλκοῦ,
lotus the shavings to-sprinkle and the scale of-the copper
καὶ τὴν στυπτηρίην, καὶ τὴν χαλκῖτιν μετὰ τοῦ χαλκοῦ, καὶ
and the alum and the chalcitis with the copper both
μόνην, καὶ μετὰ τῶν τοῦ λωτοῦ ἰχθυημάτων. Καὶ ἄλλως,
alone and with the of-the lotus shavings And otherwise
ὅταν δέηται, ξηροῖσι τοῖσι τοιούτοισι χρέεσθαι, καὶ τῇ σποδῷ
when it-need with-dry the such to-use also the ash
τῇ ἰλλυριώτιδι λείῃ μετὰ τῶν ἰχθυημάτων, καὶ αὐτοῖσι
the Illyrian smooth with the shavings and themselves
μόνοισιν ἰχθυήμασι, καὶ ἄνθει ἀργύρου μόνῳ ὡς λειοτάτῳ·
alone with-shavings and with-flower of-silver alone as smoothest
καὶ τὴν ἀριστολοχίην ξύων τε καὶ τρίβων λείην ἐπιπάσσειν.
and the birthwort scraping both and pounding smooth to-sprinkle
Ἕτερον ἔναιμον· σμύρνα, λιβανωτὸς, κηκὶς, ἰὸς, 14
Another blood-dressing myrrh frankincense gall verdigris
ἄνθος χαλκοῦ ὀπτὸν, στυπτηρίη αἰγυπτίη ὀπτὴ, οἰνάνθη,
flower of-copper roasted alum Egyptian roasted vine-flower
οἰσυπίδες, μολύβδαινα, τούτων ἴσον ἑκάστου, ἡ δίεσις
wool-grease galena of-these equal of-each the dissolving
οἴνῳ ὥσπερ τὸ πρότερον, καὶ ἄλλη ἐργασίη κατὰ
with-wine as the former and other working according-to
τὰ αὐτά. — Ὄξος ὡς ὀξύτατον λευκὸν, μέλι, στυπτηρίην
the same Vinegar as sharpest white honey alum
αἰγυπτίην, νίτρον ὡς ἄριστον ἡσύχως φρύξας, χολῆς
